BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

1015

AESCHYLI
AGAMEMNON

EDIDIT

MARTIN L. WEST



BEROLINI ET NOVI EBORACI
WALTER DE GRUYTER MMVIII

∞ Gedruckt auf säurefreiem Papier,
das die US-ANSI-Norm über Haltbarkeit erfüllt.

ISBN 978-3-598-71015-5

Bibliografische Information der Deutschen Nationalbibliothek


Die Deutsche Nationalbibliothek verzeichnet diese Publikation in
der Deutschen Nationalbibliografie; detaillierte bibliografische Daten
sind im Internet über http://dnb.d-nb.de abrufbar.

Printed in Germany
Druck und Bindung: AZ Druck und Datentechnik GmbH, Kempten

PRAEFATIO

De codicibus Orestiae et Supplicum

In Agamemnonis textu constituendo quinque libris nitimur, MVGTF. Sed soli T F totam fabulam conservant, ceteri minus dimidio. Stemma est hoc:



M est liber longe vetustissimus atque optimus, Laur. 32.9 (saec. x); nec tamen semper lectionem meliorem praebet, sed omnia sunt acri iudicio perpendenda. Adsidue correctus est ab eo qui scholia adscripsit (M^s); sollers fuit homo, qui lectiones ex scholiis extrahere quibat, hic illic coniecturas suas adiecit, verum nonnumquam lectionem meliorem oblitteravit.

τ est exemplar deperditum, quod Demetrius Triclinius ca. 1315–20 emendationibus quibusdam scholiisque metricis exornavit; idem postea codicem T conscripsit novisque

emendationibus textum immutavit. Quicquid igitur consentientes GTF vel GF vel TF offerunt, quaerendum est utrum primitus in codice *τ* e traditione fuerit, an inter priora Triclinii emendamenta numerandum sit.

In Eumenisin pariter res se habet, sed abest V, familiae *τ* accedit liber quartus recentior E. In Choephoris autem, ut in Supplicibus, exstat M solus cum apographis suis, quae infra recensentur.

Virorum doctorum nominibus in apparatu adhaerent plerumque numeri qui ad opera paginasque referant: clavem reperies in indice criticorum qui in editione maiore pp. LVII–LXXIX prostat, in hac minore autem propter amplitudinem non recipi potest.

INDEX SIGLORVM

LIBRI PRIMARII

Π_5 Pap. Oxy. 2178, saec. ii: Ag. 7–17, 20–30
M Laur. 32.9, saec. x: Ag. 1–310, 1067–1159, Cho., Eum.
V Marc. gr. 468 (653), ca. 1270: Ag. 1–348
τ G Marc. gr. 616 (663), ca. 1321: Ag. 1–45, 1095–fin., Eum.
T Neapol. II F 31, ca. 1325: Ag., Eum.
F Laur. 31.8, ca. 1335–1348: Ag., Eum.
E Salmantic. Bibl. Univ. 233, ca. 1450–1470: Eum.

CODICIS M APOGRAPHA

Ma Laur. S. Marco 222, saec. xiv in.
Mb Bonon. Bibl. Univ. 2271, saec. xv
Mc Guelferbytanus Gud. gr. 4° 88, ca. 1495
Md Scorial. T. I. 15, ca. 1540
Me Par. gr. 2886, ca. 1518–1521
Mf Monac. gr. 546, saec. xvi

SIGLA CETERA

Ω — lectio omnium codicum vel utique archetypi
Σ — scholium vetus (Σ^{λ} scholii lemma; Σ_{I} scholium in cod. I)
Σ^{*} — scholium incertae aetatis
Φ — commentarius paraphrasticus in triadem, saec. fere xii
Θ — Thomae Magistri textus
T^{σ} — Triclinius in scholio suo
A^{1}, A^{2} — A a prima /ab altera manu correctus
A^{a}, A^{c} — A ante/post correctionem
$A^{a?}$, A^{a}? — A, fort. a.c./fort. A a.c.
A^{a2}, A^{as} — A ante correctionem ab altera manu/a scholiorum scriba factam
$A^{\times}$ — A ante vel post correctionem (incertum utrum)
A^{gl} — glossema in A, vel lectio quasi glossema adscripta
$A^{\gamma\varrho}$ — varia lectio cum γϱ. in A adscripta
A^{mg} — A in margine
A^{r} — A in rasura
A^{s} — A tum correctus cum scholia addita sunt
A^{ss} — lectio in A super lineam scripta
A^{t} — A in textu, altera lectione inter lineas vel in margine adscripta
A^{uv} — A ut videtur
A + — A cum alio quodam codice (vel plus uno) qui saepe ab eodem hyparchetypo pendet (cf. pp. VIII sqq.)
||| — littera erasa
* — littera obscura
ạ — littera quae α videtur esse
[ ] — textus periit
⌊ ⌋ — papyrus periit

[[ ]]	delevit scriba
{ }	delenda censeo
⟨ ⟩	inserenda censeo
⟨XO.⟩	nec personae nota nec paragraphus est in cod(d)
† †	corruptela non sanata
		finis versus vel lineae
ci.	coniecit, coniectura
ss.	suprascripsit, cum suprascripto
u. v.	ut videtur

VIRORVM DOCTORVM NOMINA BREVIATA

Asul(anus)
Aur(atus)
Blomf(ield)
Casaub(onus)
Dind(orf, W.)
Rob(ortello)
Scal(iger)
Steph(anus)
Tricl(inius)
Turn(ebus)
Vict(orius)
Wil(amowitz)

ΑΓΑΜΕΜΝΩΝ

Ὑπόθεσις

Ἀγαμέμνων εἰς Ἴλιον ἀπιὼν τῆι Κλυταιμήστραι ⟨συν-
έθετο⟩, εἰ πορθήσοι τὸ Ἴλιον, τῆς αὐτῆς ἡμέρας σημαίνειν
διὰ πυρσοῦ. ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῶι Κλυταιμή-
στρα, ἵνα τηροίη τὸν πυρσόν. καὶ ὃ μὲν ἰδὼν ἀπήγγειλεν,
5 αὐτὴ δὲ τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται, περὶ τοῦ πυρ-
σοῦ ἐροῦσα· ἐξ ὧν καὶ ὁ χορὸς συνίσταται· οἵτινες ἀκού-
σαντες παιανίζουσιν. μετ' οὐ πολὺ δὲ καὶ Ταλθύβιος παρα-
γίνεται καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δὲ ἐπὶ
ἀπήνης ἔρχεται· εἵπετο δ' αὐτῶι ἑτέρα ἀπήνη, ἔνθα ἦν τὰ
10 λάφυρα καὶ ἡ Κασσάνδρα. αὐτὸς μὲν οὖν προεισέρχεται
εἰς τὸν οἶκον σὺν τῆι Κλυταιμήστραι, Κασσάνδρα δὲ προ-
μαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς καὶ
τοῦ Ἀγαμέμνονος θάνατον καὶ τὴν ἐξ Ὀρέστου μητροκτο-
νίαν, καὶ εἰσπηδᾶι ὡς θανουμένη, ῥίψασα τὰ στέμματα.
15 τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται ὡς ἔκπληξιν
ἔχον καὶ οἶκτον ἱκανόν. ἰδίως δὲ Αἰσχύλος τὸν
Ἀγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι ποιεῖ, τὸν δὲ Κασ-
σάνδρας σιωπήσας θάνατον νεκρὰν αὐτὴν ὑπέδειξεν, πε-

1 Κλυταιμνήστραι V *τ* (et item fere semper) ⟨συνέθετο⟩ West: ὑπέσχετο post τὸ Ἴλιον add. *τ*: ἔφη post σημαίνειν add. V: verbo caret M 2 πορθήσει *τ* τοῦ πυρσοῦ M 5 μεταπέμπεται ὄχλον ἐροῦσα περὶ τοῦ πυρσοῦ *τ* 10 προσήρχετο GF, προσέρχεται T 15–16 θαυμαστόν ἐστιν ὡς καὶ ἔκπληξιν καὶ οἶκτον ἱκανὸν ἐμποιεῖν *τ* 18 ἀπέδειξε *τ*

ποίηκέν τε Αἴγισθον καὶ Κλυταιμήστραν ἑκάτερον δισχυ-
20 ριζόμενον περὶ τῆς ἀναιρέσεως ἑνὶ κεφαλαίωι, τὴν μὲν τῆι ἀναιρέσει Ἰφιγενείας, τὸν δὲ ταῖς τοῦ πατρὸς Θυέστου ἐξ Ἀτρέως συμφοραῖς.

ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους Ὀλυμπιάδι ὀγδοηκοστῆι ἔτει β′ (459/8). πρῶτος Αἰσχύλος
25 Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῶι. ἐχορήγει Ξενοκλῆς Ἀφιδναῖος.

τὰ τοῦ δράματος πρόσωπα

φύλαξ χορός ἄγγελος
Κλυταιμήστρα Ταλθύβιος κῆρυξ
30 Ἀγαμέμνων Κασσάνδρα
Αἴγισθος

προλογίζει δὲ ὁ φύλαξ, θεράπων Ἀγαμέμνονος.

21 Θυέστου T: Ὀρέστου M: Αἰγίσθου Vτ (-ίστου F) 24 ὀγδοηκοστῆι Casaub.[2] 172: κ̄η̄ (i.e. ὀγδόηι καὶ εἰκοστῆι) Ω 26 Ἀφιδνεύς Ω: corr. Wil.[5] ad 23–26 cf. IG II[2] 2318.41 sqq. (TrGF I DID A 1, paulo post 346 a.C. incisam) [ἐπὶ Φιλο]κλέους … | τραγωιδῶν | Ξενοκλῆς Ἀφιδνα(ῖος) ἐχορή(γει) | Αἰσχύλος ἐδίδασκεν 28 ἄγγελος om. T 32 deest in MV, sed cf. Σ 1 in M θεράπων Ἀγαμέμνονος ὁ προλογιζόμενος, οὐχὶ ὁ ὑπὸ Αἰγίσθου ταχθείς

ΑΓΑΜΕΜΝΩΝ

ΦΥΛΑΞ

Θεοὺς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων,
φρουρᾶς ἐτείας μῆκος, ἣν κοιμώμενος
στέγαις Ἀτρειδῶν ἄγκαθεν κυνὸς δίκην
ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν,
5 καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι,
†ἀ⌟στέ⌞ρας† ὅταν φθίνωσιν, ἀντολάς τε τῶν.
κ⌟αὶ ν⌞ῦν φυλάσσω λαμπάδος τὸ ξύμβολον,
αὐ⌟γὴν π⌞υρὸς φέρουσαν ἐκ Τροίας φάτιν
10 ἁλ⌟ώσιμ⌞όν τε βάξιν· ὧδε γὰρ κρατεῖ
γυ⌟ναικὸς ἀ⌞νδρόβουλον ἐλπίζον κέαρ.

3 (ἄγκαθεν) Hsch. α 786, Synag. AB 337.25 (Phot. α 181) 4–6 Achilles in Arat. p. 28.14 Maass 11 Io. Sic. in Hermog., Rhet. VI 225.22 W.; (ἀνδρόβ.) Phryn. PS 31.19 B.

Codd. M[1–310.1067–1159] V[1–348] G[1–45.1095–] TF (= τ)

2 φρουρᾶς τ' Peters ἣν τ vel $τ^c$: δ'ἣν ΣMV 3 ἀνέκαθεν Franz (contra testes) 4 νυκτέραν Łowiński[3?] 5 βροτοῖς θέρος τ 6 αἰθέρι Mτ: ἐν θέρει V, Achillis cod. Vat. 7 post Pauw damn. Valckenaer[1] ad Pho. 506–7: habuit $Π_5$ (.]σ̣τ̣ε̣[) ἀστέρας] τηρῶν A.Y. Campbell[3] 52 (τηρῶ θ' Bergk[3], ἀθρῶν Kennedy[3]) ἀντολαῖς Margoliouth[2] 8 σύμβολον Ω 11 ἐλπίζον $M^s V^c τ$: -ζων $M^a V^a$ Io. Sic.

ε⌋ὖτ' ἂν δὲ ν⌊υκτίπλαγκτον ἔνδροσόν τ' ἔχω
εὐ⌋νὴν ὀνείρ⌊οις οὐκ ἐπισκοπουμένην
ἐ⌋μήν – φόβος γὰ⌊ρ ἀνθ' ὕπνου παραστατεῖ,
15 τὸ⌋ μὴ βεβαίως ⌊βλέφαρα συμβαλεῖν ὕπνωι –
ὅτ⌋αν δ' ἀείδειν ἢ μ⌊ινύρεσθαι δοκῶ,
ὕπνου τόδ' ἀ⌋ν⌊τ⌋ί⌊μ⌋ο⌊λπον ἐντέμνων ἄκος,
κλαίω τότ' οἴκου τοῦδε συμφορὰν στένων,
οὐχ ὡς τὰ πρόσθ' ἄριστα διαπονουμένου.
20 νῦ⌊ν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων
εὐ⌊αγγέλου φανέντος ὀρφναίου πυρός.

ὦ χ⌊αῖρε λαμπτήρ, νυκτὸς ἡμερήσιον
φά⌊ος πιφαύσκων καὶ χορῶν κατάστασιν
πο⌊λλῶν ἐν Ἄργει τῆσδε συμφορᾶς χάριν.
25 ἰοῦ⌊ἰοῦ·
Ἀγα⌊μέμνονος γυναικὶ σημαίνω τορῶς
εὐν⌊ῆς ἐπαντείλασαν ὡς τάχος δόμοις
ὀλο⌊λυγμὸν εὐφημοῦντα τῆιδε λαμπάδι
ἐπ⌊ορθιάζειν, εἴπερ Ἰλίου πόλις
30 ἑάλωκεν, ὡς ὁ φρυκτὸς ἀγγέλ⟨λ⟩ων πρέπει·
αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι.

22 cf. Hsch. λ 268 23 cf. Hsch. π 2402

12 ε]ῡτανδε Π_5: γε F[ss]: κοίτην δὲ Bentley[3]: εὕδων δὲ Wil.[5], [18]194: τοιάνδε Hense ἔχων Weil[2] 16 οτ]αν Π_5: εὖτ' ἂν Weil[13] 65 ἢ om. Π_5 (αειδειν μ̣[) 17 πόνου Housman[2] 244/55 contra Σ_{TF}: vocem fort. om. Π_5 (....]ν̣[.]ʹ[.]ʹ[) ἐκτέμνων GF[a]: ἓν τέμνων Kennedy[2] 124 22 νυκτὸσ, VT[?]F ἡμερ- Ω 23 φά⌊ος Π_5MV: νῦν φῶς τ 25 post 21 trai. Hermann[6] 56 ἰοῦ ἰοῦ id.[17] (cf. sch. Ar. Pac. 316, Nub. 1171): ἰού ἰού fere Ω 26 σημανῶ Vτ 29 ἐπορθριάζειν MV versus proximus in Π_5 incipit τ̣ .[(τ̣α̣, τ̣η̣, τ̣ι̣, τ̣υ̣), tum deficit papyrus; fort. 30 sq. omiserat, vel versus inter 29 et 30 stetit quo Ω caruit 30 ἀγγέλων MVF

τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι,
τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας.
γένοιτο δ' οὖν μολόντος εὐφιλῆ χέρα
35 ἄνακτος οἴκων τῆιδε βαστάσαι χερί.
τὰ δ' ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώσσηι μέγας
βέβηκεν. οἶκος δ' αὐτός, εἰ φθογγὴν λάβοι,
σαφέστατ' ἂν λέξειεν· ὡς ἑκὼν ἐγὼ
μαθοῦσιν αὐδῶ κοὐ μαθοῦσι λήθομαι.

ΧΟΡΟΣ

40 δέκατον μὲν ἔτος τόδ' ἐπεὶ Πριάμωι μέγας ἀντίδικος
Μενέλαος ἄναξ ἠδ' Ἀγαμέμνων,
διθρόνου Διόθεν καὶ δισκήπτρου
τιμῆς ὀχυρὸν ζεῦγος Ἀτρειδᾶν,
45 στόλον Ἀργείων χιλιοναύτην
τῆσδ' ἀπὸ χώρας ἦραν, στρατιῶτιν ἀρωγήν,
μέγαν ἐκ θυμοῦ κλάζοντες ἄρη,
50 τρόπον αἰγυπιῶν οἵτ' ἐκπατίοις ἄλγεσι παίδων
†ὕπατοι† λεχέων στροφοδινοῦνται
πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι,

32–3 Phot. s. τρὶς ἕξ, Sud. τ 1006 (Paus. Att. τ 46), cf. Hsch. τ 1427; 33 Eu. 1414.5   36 (– σιγῶ) Clem. Str. 7.3.13.1; (βοῦς –) cf. Hsch. β 968   41 cf. Hsch. α 5405   49 sq. cf. Hsch. ε 1593

32 ⟨εὖ⟩ θήσομαι Mähly[1] 427   33 τῆσδέ μοι *Ω*: τῆς ἐμῆς Phot. Sud.: τῆς Διὸς Eust.   39 αὐδῶν οὐ V   40 πριάμου *τ*   44 Ἀτρειδῶν Asul.   45 χιλιοναύταν *Ω*, sed η ss. M[s]T[gl]: ἴλιον αὐτάν M[syρ]F[γρ]   **post h. v. deficit G usque ad 1095**   47 ἀρωγὰν fere *Ω*, sed η ss. M[s]T[gl]   48 μεγάλ' Page[1] cl. Il. 16.429   κλάγξαντες *τ*   50 ἐκπάγλοις Blomf.[10] contra Σ   51 ὕπατοι vix sanum (cf. 55): ὑπατηλεχέων Headlam[7], [8]113   στρεφεδινοῦνται L. Dindorf VII 861 cl. Il. 16.792

δεμνιοτήρη πόνον ὀρταλίχων ὀλέσαντες·
55 ὕπατος δ' ἀΐων ἤ τις Ἀπόλλων ἢ Πὰν ἢ Ζεὺς
οἰωνόθροον γόον ὀξυβόαν τῶνδε μετοίκων
ὑστερόποινον πέμπει παραβᾶσιν Ἐρινύν.
60 οὕτω δ' Ἀτρέως παῖδας ὁ κρείσσων
ἐπ' Ἀλεξάνδρωι πέμπει ξένιος
Ζεὺς πολυάνορος ἀμφὶ γυναικός,
πολλὰ παλαίσματα καὶ γυιοβαρῆ
γόνατος κονίασιν ἐρειδομένου
65 διακναιομένης τ' ἐν προτελείοις
κάμακος θήσων Δαναοῖσιν
Τρωσί θ' ὁμοίως. ἔστι δ' ὅπηι νῦν
ἔστι· τελεῖται δ' εἰς τὸ πεπρωμένον·
οὔθ' ὑποκαίων οὔτ' ἐπιλείβων
70 οὔτε †δακρύων† ἀπύρων ἱερῶν
ὀργὰς ἀτενεῖς παραθέλξει.
ἡμεῖς δ' ἀτίται σαρκὶ παλαιᾶι
τῆς τότ' ἀρωγῆς ὑπολειφθέντες
75 μίμνομεν, ἰσχὺν ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις·

53 sq. (δεμν. πόνον) Hsch. δ 617; (ὀρτ.) cf. Phot. s.v., Hsch. ο 1335 (Ar. Byz. fr. 207 Sl.) 57 (τῶνδε μετ.) sch. Soph. O.C. 934 72 cf. Hsch. α 8101

---

55 fort. praestat ἀϊών, cf. Schulze[1] 344–8 57 ὀξυβοᾶν Gilbert[3] 64 κονίαισιν Ω: corr. Wil.[5] ἐρειδομένου VF[ss], ἐριδο- M: ἐρειπο- TF[t] 66 Δαναοῖς καὶ Τρωσὶν Porson[0], Τρωσὶν Δαναοῖσί θ' Kennedy[3] (cl. Il. 2.40), catalexin in ὁμοίως facientes 69 ὑποκλαίων Ω: corr. Casaub.[1] οὔτ' ἐπιλείβων Schütz[6]: οὔθ' ὑπολείβων Ω: οὔτ' ἀπολείβων Bothe[2] 70 οὔτε δακρύων del. Bamberger[1] 38 71 ⟨βροτὸς ἀθανάτων⟩ ὀργὰς Denniston[4] 72 ἀτίταν σάρκα παλαιαν M[a], corr. M[1] ἀτίταια V: ἀτιταὶ T, cf. Hsch.

ὅ τε γὰρ νεαρὸς μυελὸς στέρνων ἐντὸς ἀνάσσων
ἰσόπρεσβυς, ἄρης δ' οὐκ ἔνι χώραι,
80 τό θ' ὑπεργήρων, φυλλάδος ἤδη κατακαρφομένης,
τρίποδας μὲν ὁδοὺς στείχει, παιδὸς δ' οὐδὲν ἀρείων
ὄναρ ἡμερόφα⟨ν⟩τον ἀλαίνει.
σὺ δὲ Τυνδάρεω θύγατερ, βασίλεια Κλυταιμήστρα,
85 τί χρέος; τί νέον; τί δ' ἐπαισθομένη,
τίνος ἀγγελίας πειθοῖ περίπεμπτα θυοσκεῖς;
πάντων δὲ θεῶν τῶν ἀστυνόμων,
90 ὑπάτων, χθονίων, τῶν τε θυραίων τῶν τ' ἀγοραίων
βωμοὶ δώροισ⟨ι⟩ φλέγονται·
ἄλλη δ' ἄλλοθεν οὐρανομήκης λαμπὰς ἀνίσχει
φαρμασσομένη χρίματος ἁγνοῦ
95 μαλακαῖς ἀδόλοισι παρηγορίαις,
πελανῶι μυχόθεν βασιλείωι.
τούτων λέξασ' ὅτι καὶ δυνατὸν
καὶ θέμις, αἴνει παιών τε γενοῦ τῆσδε μερίμνης,

87 cf. Hsch. θ 917 95 cf. Hsch. π 893

---

76 νοερὸς V 77 ἀνάισσων Hermann[4] ad Nub. 994, at medulla a cerebro descendere credebatur 78 ἔνι TF: ἐνι M: ἐνὶ V χώραι ΣΩ (-ρα VF), sc. regno medullae puerilis: χῶρα Robertson[3] 35: χλωρῶι Weil[6] 126: Ἄρη ... χωρεῖ Wakefield[2] 44 79 τό θ' ὑπέργηρων T: τόθιπεργήρως VF: τίθιπεργήρως M 81 τρίποδος τ 82 ἡμερόφαντον TF (τ[c]): -φατον MV: -φοιτον Ahrens[8] 252, cf. ad Prom. 657 83 τυνδάρ^{αου}εω M[c] ex -ρέαο 84 κλυταιμνήστρα Vτ 85 νέον τόδ' Karsten 87 πυθοῖ F: πευθοῖ Scal.[2] θυοσκεῖς Turn., cf. Hsch.: θυοσκινεῖς M (κι i.r., fort. fuerat κν) TF[c], θύοσκινεῖς VF[a]: θυοσκοεῖς Στ[γρ] 90 τῶν τε θυραίων Enger[12]: τῶν τ' οὐρανίων Ω: del. Ahrens[7] (τῶν τ' οὐρ. τῶν τ' ἀγ. iam Heath) 91 δώροισι T: -οις MVF 94 φαρμασσομένου M[a] χρίματοσ M: χρήματος V: χρίσματος τ 96 πελανῶ M: πελάνω Vτ: πελανῶν ... βασιλείων Havet[1], cf. Σ λείπει κομιζομένων (-ωι Pearson) 98 αἴνει Wieseler[2] 111: αἰνεῖν MV: εἰπεῖν τ

100 ἢ νῦν τοτὲ μὲν κακόφρων τελέθει,
τοτὲ δ' ἐκ θυσιῶν ἃς ἀναφαίνεις
ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον
καὶ θυμοβόρον φρενὶ λύπην.

κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν — str. 1
105 ἐκτελέων – ἔτι γὰρ θεόθεν καταπνεύει
πειθώ, μολπᾶν ἀλκάν, ξύμφυτος αἰών –
ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας
110 ξύμφρονα ταγάν,
πέμπει ξὺν δορὶ καὶ χερὶ πράκτορι θούριος ὄρνις
Τευκρίδ' ἐπ' αἶαν,
οἰωνῶν βασιλεὺς βασιλεῦσι νε-
115 ῶν, ὁ κελαινὸς ὅ τ' ἐξόπιν ἀργᾶς,

104 Ar. Ran. 1276 108–9 Ar. Ran. 1285 111 Ar. Ran. 1287–9

---

101 ἃς ἀναφαίνεις Ahrens^{7}: ἀγανὰ φαίνεισ M, ἀγανὰ φαίνει V, ἀγανὰ φαίνουσ' *τ* 102 ἄπλειστον M 103 καὶ θυμοβόρον Blaydes^{2}: τὴν θυμοβόρον $Σ^{uv}$ T F: τὴν θυμοφθόρον M V φρενὶ λύπην Pauw, cf. Σ (φροντίδα) ἥτις ἐστὶ θυμοβόρος λύπη τῆς φρενός: λύπης φρένα M V F (*τ*): λυποφρένα $T^{σ}$: τῆς θυμοβόρου φρένα λύπης Jacob (φρ. λ. iam Turn.) 104 ὅδιον Σ *Ω*: ὅσιον fere Aristophanis codd., sed ὅσδῖον R cum sch. ὅσιον κράτος: – ἐν τοῖς πλείστοις αἴσιον (ὅσιον Fritzsche), Ἀσκληπιάδης δὲ τὸ ὅσιον (δὲ ὅδιον Fritzsche) 105 ἐντελέων Aur.^{3} (τῶν ἐν τέλει ὄντων $Σ_{T}$) καταπνεύει V *τ*, -πνέ⟦ụ⟧ει M: -πνείει Asul. 106 πειθῶ M^{a} μολπᾶν M^{a}: μολπὰν Σ M^{1} V *τ* 107 ξύμφυτος Schütz^{2}: σύμφυτος *Ω* 109 ἥβας Ar., $Σ^{uv}$: ἥβαν *Ω* (-ᾶν M^{a}) 110–2 om. M spatio relicto, suppl. M^{s} 110 σύμφρονα V *τ* ταγάν Σ V *τ*: τὰν γᾶν M^{s} 111 ξὺν V *τ*: σὺν M^{s}, Ar. codd. boni καὶ χερὶ Ar.: δίκας Σ *Ω* 113 βασιλεῖς Heath ('quod βασιλῆς scribendum foret' Dind.^{12}) 115 ἀργᾶς Blomf.^{2} 171: ἀργίας (ἀρίασ M^{a} puto): ἀργής Heath

φανέντες ἴκταρ μελάθρων χερὸς ἐκ δορυπάλτου
παμπρέπτοις ἐν ἕδραισιν
βοσκόμενοι λαγίναν ἐρικύμονα φέρματι γένναν,
120 βλαβέντα λοισθίων δρόμων.
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.

κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασι δισσούς ant. 1
Ἀτρεΐδας μαχίμους ἐδάη λαγοδαίτας
125 πομπούς τ' ἀρχάς· οὕτω δ' εἶπε τεράζων·
"χρόνωι μὲν ἀγ'ρεῖ Πριάμου πόλιν ἅδε κέλευθος,
πάντα δὲ πύργων
κτήνη πρόσθε τὰ δημιοπληθέα Μοῖρα λαπάξει
130 πρὸς τὸ βίαιον·
οἷον μή τις ἄγα θεόθεν κνεφά-
σηι προτυπὲν στόμιον μέγα Τροίας
στρατωθέν. οἴκ⟨τ⟩ωι γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνά
135 πτανοῖσιν κυσὶ πατρός
αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισιν,

131 cf. Et. M. 5.27 (17.30 L.-L.)

---

117 παμπρέπ⟦τ⟧οισ ἐν M, παμπρέπτοισ ἐν V: παμπρέποισιν F: παμπρέπτεσιν T ἕδραις τ 119 ἐρικύματα M (sed πολυκύμονα Σ) φέρβοντο τ 121 αἴλινον bis M, item 139.159 122 λήμμασι τ: λήματι Blaydes[2] δισσοῦσ M[a]: -οῖς Canter 123 λαγο- TF(τ[c]): λογο- MV 124 τ' del. Thiersch[2] 58 ἀρχούς τ: ἀρχᾶς Rauchenstein[2] 536 125 τεράζων Vτ: τερά'ιζων M, τεράιζων Σ[λ] (cf. Phot. τεραίζεις = Plat. fr. 288 K.-A., Hdn. μον. λέξ. II 929.15 + Et. Magn. 737.21 (Hdn. I 585 app.)) 129 δημιοπληθέα O. Müller[3] 282: -πληθῆ Ω Μοῖρα λαπάξει Elmsley[1] 230: μοῖρ' ἀλαπ- Ω λαπάζει Edwards 131 ἄγα Hermann[17], [18]704: ἄτα ΣΩ 134 οἴκω ΣΩ (-ῳ T): corr. Aur.[3], Scal.[2] 135 πτανοῖσιν M: -οῖσι V: -οῖς τ 137 πτάκα Σ[λ]M: πτάωνκα V: πτῶκα τ

στυγεῖ δὲ δεῖπνον αἰετῶν."
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.

140 "τόσον περ εὔφρων Ἑκάτα epod.
δρόσοις ἀέπτοις μαλερῶν ⟨λε⟩όντων
πάντων τ' ἀγρονόμων φιλομάστοις
θηρῶν ὀβρικάλοισι τερπνά·
τούτων αἰτεῖ ξύμβολα κρᾶναι.
145 δεξιὰ μέν, κατάμομφα δὲ φάσματα †στρουθῶν†.
ἰήϊον δὴ καλέω Παιᾶνα,
μή τινας ἀντιπνόους Δαναοῖς
χρονίας ἐχενῆιδας ἀπλοίας
150 τεύξηι, σπευδομένα θυσίαν
ἑτέραν, ἄνομόν τιν', ἄδαιτον,

141 (δρόσοις) Et. G. = M. 377.39 (Ar. Byz. fr. 99 Sl.) 143 (ὀβρικ.) Ael. N. A. 7.47, Poll. 5.15, Eu. 1625.47 (Ar. Byz. fr. 203 B Sl.); Hsch. ο 24, Phot. (Ael. Dion. ο 2) 144 cf. Hsch. κ 3945 151 cf. Hsch. α 982

140 τόσσων M: τόσσον Turn. Ἑκάτα (cf. Supp. 676) Badham[1] 16: καλὰ MV: ἁ καλὰ TF (τ[c]; dimeter pravus): ψακάλοις Blomf.[10]: καλὰ ⟨Διὸς κόρα⟩ Dind.[11] lxxxvi sq. 141 δρόσοις T: -οισιν MVF ἀέπτοις ΣVF, -οισι T: ἀέλπτοισ M: λεπταῖς Blomf.[10] λεόντων rest. Pearson ex Etym.: ὄντων MV: om. τ 143 θηρῶν fort. delendum ὀβρικάλοις, τ ὀβρικάλοισι ⟨ν· ἅ⟩τερπνά ⟨τε⟩ Hartung (δὲ malim; τερπνὰ δὲ Blomf.[10]) 144 possis τούτων ⟨δ'⟩ 146 στρουθῶν MV, τῶν στρουθῶν τ, quod ex Il. 2.311 invectum esse vidit Porson[6] 157: τῶν ἀετῶν Σ: νοσσῶν Keck[2]: οἰωνῶν Rauchenstein[2] 537 147 δὴ Ahrens[8] 289: δὲ *Ω* παιᾶνα *Ω* 149 ἐχενηΐδασ | ἀπλοΐασ MV, ἐχενηΐδας | ἀπλοΐδας τ: ἀπλ. del. Keck[2] 150 τεύξηις Σ[uv]

νεικέων τέκτονα σύμφυτον, οὐ δει-
σήνορα· μίμνει γὰρ φοβερὰ παλίνορτος
155 οἰκονόμος δολία, μνάμων Μῆνις τεκνόποινος."
τοιάδε Κάλχας
ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξεν
μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις·
τοῖς δ' ὁμόφωνον
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.

160 Ζεύς, ὅστίς ποτ' ἐστίν, εἰ τόδ' αὐ- str. 2
τῶι φίλον κεκλημένωι,
τοῦτό νιν προσεννέπω·
οὐκ ἔχω προσεικάσαι
πάντ' ἐπισταθμώμενος
165 πλὴν Διός, εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος
χρὴ βαλεῖν ἐτητύμως.

οὔθ' ὅστις πάροιθεν ἦν μέγας ant. 2
παμμάχωι θράσει βρύων,
170 οὐδὲ λέξ⟨ετ⟩αι πρὶν ὤν·
ὅς τ' ἔπειτ' ἔφυ, τριακ-
τῆρος οἴχεται τυχών·
Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων
175 τεύξεται φρενῶν τὸ πᾶν,

152 συμμενεῖ | φυτόν V (immixto gl. ad μίμνει) 153 δεισήνορα ⟨μῆτιν⟩ Lachmann[1] 56, ⟨Κῆρα⟩ A. Y. Campbell[4]: malim ⟨θέσθαι⟩ 154 γὰρ om. *τ* 156 ἀπέκλαιξεν M 158 ὡμόφωνον M[a], ὡμό- V 160 ὅστίς sic MT (et πότ' M[a]) 162 προσεννέπων Musgrave 163 ἔχων Schneidewin[5] 165 τὸ Pauw: τόδε MVF: γε T 168 οὔθ' Prien[4] 384: οὐδ' *Ω* 170 οὐδὲ λέξεται Ahrens[1] 35 praeeunte Burney[2]: οὐδὲν λέξαι MVF, οὐδέν τι λέξαι T: οὐ λελέξεται Franz (cf. Hsch. s. v.) 171 ὅς τ' Haupt: ὃς δ' *Ω*

τὸν φρονεῖν βροτοὺς ὁδώ- str. 3
σαντα, τὸν πάθει μάθος
θέντα κυρίως ἔχειν.
στάζει δ' ἀνθ' ὕπνου πρὸ καρδίας
180 μνησιπήμων πόνος· καὶ παρ' ἄ-
κοντας ἦλθε σωφρονεῖν.
δαιμόνων δὲ ποῦ χάρις,
βιαίως σέλμα σεμνὸν ἡμένων;

καὶ τόθ' ἡγεμὼν ὁ πρέσ- ant. 3
185 βυς νεῶν 'Αχαιϊκῶν,
μάντιν οὔτινα ψέγων,
ἐμπαίοις τύχαισι συμπνέων,
εὖτ' ἀπλοίαι κεναγγεῖ βαρύ-
νοντ' 'Αχαιϊκὸς λεώς
190 Χαλκίδος πέραν ἔχων
παλιρρό⟨χ⟩θοις ἐν Αὐλίδος τόποις,

πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι str. 4
κακόσχολοι, νήστιδες, δύσορμοι,
195 βροτῶν ἄλαι, ναῶν ⟨τε⟩ καὶ πεισμάτων ἀφειδεῖς,
παλιμμήκη χρόνον τιθεῖσαι
τρίβωι κατέξαινον ἄν-
θος 'Αργείων· ἐπεὶ δὲ καὶ πικροῦ

177–8 (τῶι – θέντα) resp. Tz. Epist. pp. 31.9, 59.25, 89.19 L.

---

177 τὸν Schütz[1] 60: τῶ Ω (τῷ T) Tz. μάθη F[ss] 179 ἀνθ' ὕπνου (cf. 14) Emperius[0]: ἔν (ἕν M) θ' ὕπνω(ι) Ω 180 ἄκοντας Ω 182 δέ που TF, at v. Pope JHS 94, 1974, 100 sqq. 184 fort. ἁγεμὼν, cf. Pers. 641 191 παλιρρόθοις Ω (παλλι- F): corr. Ahrens[7] 195 νεῶν Pauw ⟨τε⟩ Porson[1] 196 παλιμμήκη MTF[ss]: πολυμήκη VF[t] -μάκη A.Y. Campbell[4] cl. Supp. 57 197 κατέξ[αι]ενον M, κατάξενον V

χείματος ἄλλο μῆχαρ
200 βριθύτερον πρόμοισιν
μάντις ἔκλαγξεν,
προφέρων Ἄρτεμιν, ὥστε χθόνα βάκτροις
ἐπικρούσαντας Ἀτρείδας
δάκρυ μὴ κατασχεῖν,

205 ἄναξ δ' ὁ πρέσβυς τόδ' εἶπε φωνῶν· ant. 4
"βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι,
βαρεῖα δ' εἰ τέκνον δαΐξω, δόμων ἄγαλμα,
μιαίνων παρθενοσφάγοισιν
210 ῥείθροις πατρῴους χέρας
πέλας βωμοῦ· τί τῶνδ' ἄνευ κακῶν;
πῶς λιπόναυς γένωμαι
ξυμμαχίας ἁμαρτών;
παυσανέμου γὰρ
215 θυσίας παρθενίου θ' αἵματος ὀργᾶι
περιόργως· ἀπὸ δ' αὐδᾶι
Θέμις. εὖ γὰρ εἴη."

216 (περιόργως) Hsch. π 1786, Phot.

---

201 ἔκλαγξε *Ω*: corr. Porson[1] 205 δ' del. Karsten τόδ' Σ*Ω* (τὸδ' M[a]): τότ' Stanley[1] 206 πειθέσθαι M V, πείθεσθαι *τ*: corr. Turn. 210 ῥείθροις T: ῥεέθροις M V F: ῥοαῖς Schoemann[2] 24/167 (nol. Hermann[18] 233) πατρῴας V 211 πέλας βωμοῦ Blomf.[10]: βωμοῦ πέλας *Ω* ἄνευ] ἄτερ M. Schmidt[0], cf. Cho. 338 et Hsch. ἄτερ· χωρίς, ἄνευ, ἐκτός 212 πῶς λιπόναυς T: τί· πῶς λιπόναυς (λειπ- F) τε M V F 215 ὀργᾶι M (-ᾶν M[a]?), ὀργᾷ V F: αὐδᾶι M[γρ] T 216 ἀπὸ δ' αὐδᾶι West[7] (δέ γ' ἀπαυδᾶι Keck[2], cf. ad 215): ἐπιθυμεῖν *Ω*, quod glossema esse viderunt Aur.[3], Portus[2] 217 θέμις γὰρ εὖ *τ*

ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον — str. 5
φρενὸς πνέων δυσσεβῆ τροπαίαν
220 ἄναγνον ἀνίερον, τόθεν
τὸ παντότολμον φρονεῖν μετέγνω.
βροτοὺς θρασύνει γὰρ αἰσχρόμητις
τάλαινα παρακοπὰ πρωτοπήμων· ἔτλα δ' οὖν
θυτὴρ γενέσθαι
225 θυγατρός, γυναικοποίνων
πολέμων ἀρωγάν
καὶ προτέλεια ναῶν.

λιτὰς δὲ καὶ κληδόνας πατρῴους — ant. 5
παρ' οὐδὲν αἰῶ τε παρθέν⟨ε⟩ιον
230 ἔθεντο φιλόμαχοι βραβῆς·
φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν
δίκαν χιμαίρας ὕπερθε βωμοῦ
πέπλοισι περιπετῆ παντὶ θυμῶι προνωπῆ
λαβεῖν ἀέρδην,
235 στόματός τε καλλιπρῴρου
φυλακᾶι κατασχεῖν
φθόγγον ἀραῖον οἴκοις,

βίαι χαλινῶν τ' ἀναύδωι μένει. — str. 6
κρόκου βαφὰς δ' εἰς πέδον χέουσα

229 (αἰῶ, cf. 715. Cho. 350) Phot. α 678, AB 363.17 234 cf. Hsch. α 1383

---

222 βροτοὺς Portus[3], βροτούς· Σ[uv]: βροτοῖς· *Ω* 229 αἰῶ τε O. Müller[3] 279 (cf. test.; αἰῶνά τε Portus[2]): αἰῶνα *Ω*, et τε ignorat Σ παρθένειον TF (*τ*[c]): -νιον MV π. ⟨τ'⟩ Casaub.[1] (-νιόν τ'), Elmsley[1] 221 230 βραβεῖς V*τ* 231 εὐχᾶν M[a] (et ci. Maas[5]) 236 φυλακὰν *Ω*: corr. Blomf.[10] 238 sq. χαλινῶν δ' ... βαφὰς ἐς T

240 ἔβαλλ' ἕκαστον θυτήρων ἀπ' ὄμματος βέλει
φιλοίκτωι, πρέπουσα τὼς
ἐν γραφαῖς, προσεννέπειν
θέλουσ', ἐπεὶ πολλάκις
πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους
245 ἔμελψεν, ἁγνᾶι δ' ἀταύρωτος αὐδᾶι πατρὸς
φίλου τριτόσπονδον εὔ-
ποτμον ⟨π⟩αιῶνα φίλως ἐτίμα.

τὰ δ' ἔνθεν οὔτ' εἶδον οὔτ' ἐννέπω· ant. 6
τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
250 Δίκα δὲ τοῖς μὲν παθοῦσιν μαθεῖν ἐπιρρέπει·
τὸ μέλλον ⟨δ'⟩ ἐπεὶ γένοιτ'
ἂν κλύοις· πρὸ χαιρέτω·
ἴσον δὲ τῶι προστένειν·
τορὸν γὰρ ἥξει ξύνορθρον αὐγαῖς.
255 πέλοιτο δ' οὖν τἀπὶ τούτοισιν εὖ πρᾶξις, ὡς
θέλει τόδ' ἄγχιστον Ἀ-
πίας γαίας μονόφρουρον ἕρκος.

245 (ἀταύρ.) Poll. 2.173, Hsch. α 8031

---

242 τὼς Maas[2] 237/38: θ' ὡς *Ω* 245 ἁγνᾷ ... αὐδᾷ T, ἁγνὰ ... αὐδᾷ F: ἁγνὰ ... αὐδὰ MV 247 εὔποτμον Σ?M[c]: εὐπόταμον M[a]VF: εὔποτον T: possis εὔστομον αἰῶνα Σ?*Ω*: corr. Hartung φίλοις Burges[6] 20 250 παθοῦσι MV[uv]F: corr. T 252 ⟨δ'⟩ Elmsley[1] 222 post τὸ μέλλον verba τὸ δὲ προκλύειν adscr. M[s], in textu habent VF ἐπιγένοιτ' M προχαιρέτω *Ω*: divisit Ahrens[7] 253 ἶσον MV 254 σύνορθρον Wellauer[2]: συνορθὸν M, σὺν ὀρθὸν V: σύναρθρον *τ* (ξύν- Schütz[2]) αὐγαῖς Hermann[17]: αὐταῖς MV, ἀϋταῖς *τ*: ἄταις Schütz[2] 255 τελοῖτο Burges[9] 76 (cf. 68. Supp. 138. Pers. 228) ἀπὶ Murray[1] post Kennedy[3] εὔπραξις Σ*Ω*: corr. Lobeck[2] 501 ὧν Wecklein[3] 107

— ἥκω σεβίζων σὸν Κλυταιμήστρα κράτος·
δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν
260 γυναῖκ', ἐρημωθέντος ἄρσενος θρόνου.
σὺ δ' εἴ τι κεδνὸν εἴτε μὴ πεπυσμένη
εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς,
κλύοιμ' ἂν εὔφρων· οὐδὲ σιγώσηι φθόνος.

ΚΛΥΤΑΙΜΗΣΤΡΑ

εὐάγγελος μέν, ὥσπερ ἡ παροιμία,
265 ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα·
πεύσηι δὲ χάρμα μεῖζον ἐλπίδος κλυεῖν·
Πριάμου γὰρ ἡιρήκασιν Ἀργεῖοι πόλιν.
ΧΟ. πῶς φῄς; πέφευγε τοὔπος ἐξ ἀπιστίας.
ΚΛ. Τροίαν Ἀχαιῶν οὖσαν· ἦ τορῶς λέγω;
270 ΧΟ. χαρά μ' ὑφέρπει δάκρυον ἐκκαλουμένη.
ΚΛ. εὖ γὰρ φρονοῦντος ὄμμά σου κατηγορεῖ.
ΧΟ. τί γὰρ τὸ πιστόν; ἔστι τῶνδέ σοι τέκμαρ;
ΚΛ. ἔστιν, τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ.
ΧΟ. πότερα δ' ὀνείρων φάσματ' εὐπειθῆ σέβεις;

264–5 (εὐάγγ. ἠὼς –) Eu. 22.33 270 sch. Od. 19.471, Eu. 1872.65 (tamquam Sophoclis)

---

258 paragr. praefixit M, ἄγγελος M[s] V F, ἄγγελος φύλαξ T: choro redd. Portus[2] κλυταιμνήστρα V F 261 εἴ τι Aur.[3]: εἰτὸ M: εἴτε M[s] V τ 263 Clytaemestrae trib. V τ σιγῶντι τ sive τ[c] propter confusionem personarum, cf. ad 271 264 κλυταιμ̓ et paragr. M: ἄγγελ(ος) V τ 265 ἠὼς Eust. 266 πεύσει V κλύειν Ω 268–80 paragraphos tantum habet M: κλυτ. (268, 270 etc.) et ἄγγ. (269, 271, etc.) V τ: corr. Portus[2] 268 τοὖπος fere M V 271 φρονούσης τ sive τ[c], cf. ad 263 ὄμμά sic M[a] 272 ἦ γάρ τι Karsten interrogationis notam post πιστόν add. Prien[4] 370 n. 274 εὐπιθῆ Blomf.[3] 497

275 ΚΛ. οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενός.
ΧΟ. ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις;
ΚΛ. παιδὸς νέας ὣς κάρτ' ἐμωμήσω φρένας.
ΧΟ. ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις;
ΚΛ. τῆς νῦν τεκούσης φῶς τόδ' εὐφρόνης λέγω.
280 ΧΟ. καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος;
ΚΛ. Ἥφαιστος, Ἴδης λαμπρὸν ἐκπέμπων σέλας·
φρυκτὸς δὲ φρυκτῶι δεῦρ' ἀπ' ἀγγάρου πυρός
ἔπεμπεν, Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον
285 Ἀθῶιον αἶπος Ζηνὸς ἐξεδέξατο·
ὑπερτελής τε, πόντον ὥστε νωτίσαι,
ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν
⟨. . . . .
. . . .⟩

276 (ἄπτερος) Hsch. α 6867 282–5 Phot. α 95; (φρυκτὸς – ἔπεμπε) Synag. AB 325.16, Sud. α 165, Eu. 1854.27; (ἀπ' ἀγγάρου πυρός) Et. M. 7.19 (27.19 L.-L.), AB 212.8 (Ael. Dion. α 16); 284 (πανόν) Ath. 700e; 285 sch. T Il. 14.229a 286 (ὑπερτ.) Hsch. υ 467

---

275 λάκοιμι Karsten 281 κλυταί M: ἄγγε(λος) M^{s} V τ 282 φρυκτῶι Ahrens[8] 487: φρυκτὸν Ω testes ἀγγάρου testes: ἀγγέλου Ω 283 ἔπεμπεν ΣΩ Eust.: ἔπεμψεν Phot. ἑρμαῖον τ Phot.: ἕρμαιον M, ἕρματον V 284 πανὸν Ath. Phot.: φανὸν $Σ^{λ}$Ω fort. ἐκ Λήμνου 285 ἀθῶον V, ἄθωον M τ: corr. Blomf.[10] 286 ὑπεὶρ ἕλης $Σ_{τ}$ τ δὲ Blaydes[4] post 287 lac. stat. Paley[4]. desunt verba finita duo et complementum phraseos πρὸς ἡδονήν, fort. etiam insulae Peparethi mentio (potius quam Ici, de qua cogit. Calder 159). Trag. adesp. 260 προσαιθρίζουσα πόμπιμον φλόγα bene hic locavit Headlam[20] 67 (alibi in hanc orationem iam Ahrens, alii)

πεύκη, τὸ χρυσοφεγγὲς ὥς τις ἥλιος
σέλας παραγγείλασα Μακίστου σκοπαῖς·
290 ὃ δ' οὔ τι μέλλων οὐδ' ἀφρασμόνως ὕπνωι
νικώμενος παρῆκεν ἀγγέλου μέρος,
ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς
Μεσσαπίου φύλαξι σημαίνει μολόν.
οἳ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω,
295 γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί·
σθένουσα λαμπὰς δ' οὐδέ πω μαυρουμένη
ὑπερθοροῦσα πεδίον Ἀσωποῦ δίκην
φαιδρᾶς σελήνης πρὸς Κιθαιρῶνος λέπας
ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
300 φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
φρουρά, πλέον καίουσα τῶν εἰρημένων·
λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος,
ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον
ὤτρυνε θεσμὸν †μὴ χαρίζεσθαι† πυρός·
305 πέμπουσι δ' ἀνδαίοντες ἀφθόνωι μένει
φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ
πορθμοῦ κατόπτην πρῶν' ὑπερβάλλειν πρόσω
φλέγουσαν· εἶτ' ἔσκηψεν, εἶτ' ἀφίκετο

288 πεύκης Schütz[6] 289 παραντείλασα Zakas σκοπαῖς Turn.: σκοπάς Ω 292 εὐρίππου M V 293 μεσσαπίου M, μέσσαπον Σ[λ]: μεσαπίου V τ fort. μέλον vel μέλειν 295 ἐρίκης M[as] θῶμὸν M 297 παιδίον ὠποῦ M V 300 τηλέπρεπτον Keck[2] ne -πομπ- iteretur 302 ἔσκηψεν θορόν Karsten 304 μὴ] δὴ T χατίζεσθαι Heath: χρονίζεσθαι Casaub.[1]: παρίεσθαι (291) Musgrave cl. Soph. Tr. 682: ἀθερίζεσθαι Lachmann[0] 306 possis πώγων', ὅσην 307 κατόπτην Headlam[6] 245: κάτοπτρον Ω, τὸ κατόψιον Σ: κάτοπτον Canter ὑπερβάλλει anon.[1] post h. v. lac. susp. Blomf.[10] 308 φλέγουσα Bredow, κᾆιτ' Schütz[6]: εὖ τ' Bothe[2] ἔστ' ἀφίκετο anon.[1]

Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
310 κἄπειτ' Ἀτρειδῶν εἰς τόδε σκήπτει στέγος
φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρός.
τοιοίδε τοί μοι λαμπαδηφόρων νόμοι,
ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι·
νικᾶι δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.
315 τέκμαρ τοιοῦτον ξύμβολόν τέ σοι λέγω
ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.
⟨ΧΟ.⟩ θεοῖς μὲν αὖθις ὦ γύναι προσεύξομαι·
λόγους δ' ἀκοῦσαι τούσδε κἀποθαυμάσαι
διανεκῶς θέλοιμ' ἂν ὡς λέγεις πάλιν.
320 ΚΛ. Τροίαν Ἀχαιοὶ τῆιδ' ἔχουσ' ἐν ἡμέραι.
οἶμαι βοὴν ἄμικτον ἐν πόληι πρέπειν·
ὄξος τ' ἄλειφά τ' ἐγχέας ταὐτῶι κύτει
διχοστατοῦντ' ἂν οὐ φίλως προσεννέποις,
καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
325 φθογγὰς ἀκούειν ἐστὶ συμφορᾶς διπλῆς.
οἳ μὲν γάρ, ἀμφὶ σώμασιν πεπτωκότες
ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων
παῖδες γερόντων, οὐκέτ' ἐξ ἐλευθέρου
δέρης ἀποιμώζουσι φιλτάτων μόρον·

310 τόδε τ: τόδ'ἐν- V: τόγε M 311–1066 deest M 312 τοιοίδ' ἕτοιμοι VT, τοιοίδ' ἕτυμοι F: corr. Schütz[2] νόμοι (cf. 304)] νομοί Łowiński[0] 315 τοιοῦτοι V: -το Vict. ξύμβολόν Porson[1]: σύμ- Vτ 317 chori notam add. Canter 319 διανεκῶς Blomf.[10]: διηνεκῶς Vτ οὓς Bothe[1] λέγοις τ 320 Clytaemestrae notam ante 321 codd.: huc revoc. Portus[2] τροίην V ἡμ- Vτ 321 ἄμμικτον Karsten, poterat et πάμμικτον; cf. Sept. 331. Eur. El. 756. Tim. Pers. 34 πόλει Vτ 322 ἐκχέας Vτ: corr. Canter 323 (κοὐ) φίλω Portus[2] 326 πεπτωκότων Bourdelot 327 sq. φυτάλμιοι παίδων γέροντες Weil[2] (cf. Pers. 580–2. Eur. Andr. 308): παῖδες γέροντες Bourdelot (cf. Eur. Supp. 722)

330 τοὺς δ' αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
νήστεις πρὸς ἀρίστοισιν ὧν ἔχει πόλις
τάσσει, πρὸς οὐδὲν ἐν μέρει τεκμήριον,
ἀλλ' ὡς ἕκαστος ἔσπασεν τύχης πάλον.
ἐν αἰχμαλώτοις Τρωϊκοῖς οἰκήμασιν
335 ναίουσιν ἤδη, τῶν ὑπαιθρίων πάγων
δρόσων τ' ἀπαλλαχθέντες· ὡς δ' εὐδαίμονες
ἀφύλακτον εὑδήσουσι πᾶσαν εὐφρόνην.
εἰ δ' εὐσεβοῦσι τοὺς πολισσούχους θεούς
τοὺς τῆς ἁλούσης γῆς θεῶν θ' ἱδρύματα,
340 οὔ τἂν ἑλόντες αὖθις ἀνθαλοῖεν ἄν.
ἔρως δὲ μή τις πρότερον ἐμπίπτηι στρατῶι
πορθεῖν τὰ μὴ χρή, κέρδεσιν νικωμένους·
δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας,
κάμψαι διαύλου θάτερον κῶλον πάλιν·
345 θεοῖς δ' ἀναμπλάκητος εἰ μόλοι στρατός,
ἐγρηγορὸς τὸ πῆμα τῶν ὀλωλότων
⟨. . . . .⟩
γένοιτ' ἄν, εἰ πρόσπαια μὴ τύχοι κακά.
τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύεις.
τὸ δ' εὖ κρατοίη μὴ διχορρόπως ἰδεῖν·
350 πολλῶν γὰρ ἐσθλῶν τὴν ὄνησιν εἱλόμην.

331 νῆστις F: νήστισι V: corr. T 334 ἐν ⟨δ'⟩ Pauw, qui primus post πάλον interpunxit 336 ἀπαλλαγέντες τ δ' Casaub.[1], εὐδαίμονες Portus[2]: δυσδαίμονεσ Σ_{τ} V τ 337 ἄφρουρον Askew[2] 340 οὐκ ἀνελόντες V, οὐκ ἄν γ' ἑλόντες TF: corr. Hermann[25] 379–81 ἂν θάνοιεν V, αὖ θάνοιεν TF: corr. Portus[2] 341 πρῶτον V ἐμπίπτη F: -ει V: -οι TF[1] 342 τὰ (cf. Supp. 265) V: ἃ TF 346 ἐγρήγορον V τ: corr. Askew[2] (cf. ad Eum. 706): παρηγορεῖν Headlam[6] 246 lac. statui: satisfaceret e.g. ⟨κοιμώμενον μάθοις ἄν, οὐδ' ἔτι βλάβη⟩ 347 τύχη T 348 κλύοις τ hic deficit V 350 τήνδ' Hermann[17]

ΧΟ. γύναι, κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις.
ἐγὼ δ' ἀκούσας πιστά σου τεκμήρια
θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι·
χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.

355 — ὦ Ζεῦ βασιλεῦ καὶ Νὺξ φιλία
μεγάλων κόσμων κτεάτειρα,
ἥτ' ἐπὶ Τροίας πύργοις ἔβαλες στεγανὸν δίκτυον,
ὡς μήτε μέγαν μήτ' οὖν νεαρῶν τιν' ὑπερτελέσαι
360 μέγα δουλείας γάγγαμον ἄτης παναλώτου.
Δία τοι ξένιον μέγαν αἰδοῦμαι τὸν τάδε πράξαντ',
ἐπ' Ἀλεξάνδρωι τείνοντα πάλαι τόξον, ὅπως ἂν
365 μήτε πρὸ καιροῦ μήθ' ὑπὲρ ἄστρων
βέλος ἠλίθιον σκήψειεν.

Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν· str. 1
πάρεστιν τοῦτό γ' ἐξιχνεῦσαι·
{ὡς} ἔπραξεν ὡς ἔκρανεν. οὐκ ἔφα τις
370 θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν
ὅσοις ἀθίκτων χάρις
πατοῖθ'· ὃ δ' οὐκ εὐσεβής·

358–61 (μήποτε – παναλώτου) Et. G. s. γαγγαμών; (γάγγ. – παναλ.) Poll. 10.132; (γάγγ.) Hsch. γ 11, Orion 44.4 367 cf. Hsch. (Cyr.) π 2408

---

351 ΧΟ. Portus[2]: ἄγγ. τ (et 355 χορός) 353 αὖ Paley[1] 356 τῶν μεγάλων T 358–61 μήποτε οὖν νεαρόν τινεσ ὑπερτελέσαι μέγα δουλείασ γαγγαμόνατης σπαναλώτου Et. Gen. A 361 πανάλωτον (contra testes) Pearson 366 ἠλίθιον τ, v. praef. 367 ἔχουσιν T: ἔχουσαν in ἔχουσ' corr. F: ἔχοις ἂν Karsten 368 πάρεστι τ: corr. Hartung τοῦτο γ' (sic) T: τοῦτ' F 369 ὡς del. Hermann[17] 373 ὅδ' F

πέφανται δ' †ἐγγόνους
375 ἀτολμήτων ἄρη†
πνεόντων μεῖζον ἢ δικαίως,
φλεόντων δωμάτων ὑπέρφευ
ὑπὲρ τὸ βέλτιστον. ἔστω δ' ἀπή-
μαντον, ὥστ' ἀπαρκεῖν
380 εὖ πραπίδων λαχόντι·

οὐ γάρ ἐστιν ἔπαλξις
πλούτου πρὸς κόρον ἀνδρί
λακτίσαντι μέγαν Δίκας
βωμὸν εἰς ἀφάνειαν.

385 βιᾶται δ' ἁ τάλαινα Πειθώ, ant. 1
προβούλο⟨υ⟩ παῖς ἄφερτος Ἄτας·
ἄκος δὲ πᾶν μάταιον. οὐκ ἐκρύφθη,
πρέπει δέ, φῶς αἰνολαμπές, σίνος·
390 κακοῦ δὲ χαλκοῦ τρόπον
τρίβωι τε καὶ προ⟨σ⟩βολαῖς
μελαμπαγὴς πέλει
δικαιωθείς, ἐπεὶ

386 cf. Hsch. α 8609 389 cf. Hsch. σ 695

---

374 ἐ^{κ}γγόνους T: ἐγγόνοις Portus[2] (ἐκγ. Bothe[2]): ἔγγονος Heath (ἔκγ. Blomf.[10]): ἐγγὺς οὖσ' Schoemann[2] 26/170: ἐκ γένους Boissonade: fort. ἐκτίνουσα (Hartung) τόλμαν (vel -ας) τῶν ἀρή, 375 ἀρὴ Headlam[9] 17: (ἔκγον' ὣς ...) ἄχη Metzger 379 ὥστε κἀπαρκεῖν T 380 λαχόντι Aur.[3]: λαχόντα *τ* 383 ἐκλακτ- T μέγαν Canter: μεγάλα *τ*: μάταν Keck[2] 386 προβούλου παῖς Hartung: προβουλόπαις Σ_T *τ*: πρόβουλος, παῖς post Musgrave (παισ') Karsten 387 ὡς ἄκος (cf. 369) T παμμάταιον *τ*: corr. Musgrave 388 fort. δέ πως 389 σίνος *τ*: σέλας Σ_T 391 τε T: om. F προβολαῖς *τ*: corr. Casaub.[1]

διώκει παῖς π⟨ο⟩τανὸν ὄρνιν,
395 πόληι πρόστριμμα θεὶς ἄφερτον.
λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν,
τὸν δ' ἐπίστροφον τῶν
φῶτ' ἄδικον καθαιρεῖ.

οἷος καὶ Πάρις ἐλθὼν
400 εἰς δόμον τὸν Ἀτρειδᾶν
ἤισχυνε ξενίαν τράπε-
ζαν κλοπαῖσι γυναικός.

λιποῦσα δ' ἀστοῖσιν ἀσπίστορας — str. 2
405 κλόνους λοχισμούς τε καὶ ναυβάτας ὁπλισμούς,
ἄγουσά τ' ἀντίφερνον Ἰλίωι φθοράν,
βεβάκει ῥίμφα διὰ
πυλᾶν, ἄτλητα τλᾶσα· πολλὰ δ' ἔστενον
τόδ' ἐννέποντες δόμων προφῆται·
410 "ἰώ, ἰὼ δῶμα δῶμα καὶ πρόμοι,
ἰὼ λέχος καὶ στίβοι φιλάνορες.
πάρεστι σιγὰς ἀτίμους ἀλοιδόρους ἀλίσ-
τους ἀφειμένων ἰδεῖν·

394 πτανὸν τ (πτανόν τιν' T): corr. Schütz[2] 395 πόλει τ θεὶς ἄφερτον Wil.[2] 6/588: ἄφερτον θεὶς τ (ἐνθείς T) 397 ἐπίστροφος Heath τῶν Klausen: τῶνδε τ 398 φῶτα Δίκα Blomf.[10] 400 ἐς δόμον τῶν F: εἰσ οἶκον τὸν T 401 τὴν ξενίαν T (cf. ad 383) 402 κλοπαῖσ F 404 λοχισμούς Heyse: λογχίμουσ τ 407 βεβάκει Keck[2]: βέβακε F, -κεν T 408 ἄτλατα Dind.[12]; v. Björck 172 πολὺ δ' ἀνέστενον F: πόλλ' ἀνέστενον Weeks ap. Dawe[2] 409 τάδ' Bourdelot 410 ἰὼ et δῶμα semel F 412 πάρεστιν F σιγὰς ἀτίμους Hermann[1] 432, ἀλοιδόρους Franz: σιγᾶς ἄτιμος ἀλοίδορος Στ ἀλί-στους West[7] (ἄλιστος Tafel, -ως Dind.[0]): ἄδιστος Στ: ἀσίτους Wecklein[15]: ἀπίστους Wil.[5] 413 ἀφειμένων Hermann[32]: ἀφε-μένων Στ: ἀφημένων Dind.[11] xci

πόθωι δ' ὑπερποντίας
415 φάσμα δόξει δόμων ἀνάσσειν.

εὐμόρφων δὲ κολοσσῶν
ἔχθεται χάρις ἀνδρί·
ὀμμάτων δ' ἐν ἀχηνίαις
ἔρρει πᾶσ' ἀφροδίτα.

420 ὀνειρόφαντοι δὲ πενθήμονες ant. 2
πάρεισι δόξαι φέρουσαι χάριν ματαίαν·
μάταν γάρ, εὖτ' ἂν ἐσθλά τις δοκῶν ὁρᾶν,
παραλλάξασα διὰ
425 χερῶν βέβακεν ὄψις, οὐ μεθύστερον
πτεροῖς ὀπαδοῦσ' ὕπνου κελεύθοις."
τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη
τάδ' ἐστὶ καὶ τῶνδ' ὑπερβατώτερα·
τὸ πᾶν δ' ἀφ' Ἕλλανος αἴας ξυνορμένων ⟨ἀ⟩πέν-
430 θεια τλησικάρδιος
δόμοις ἑκάστου πρέπει,
πολλὰ δ' οὖν θιγγάνει πρὸς ἧπαρ·

417 cf. Hsch. ε 7630 419 cf. Hsch. ε 6014

416 δὲ F: γὰρ T 417 τἀνδρί T 420 ὀνειρόφοιτοι Housman[2] 258/67, cf. ad 82 et Prom. 657 πειθήμονες (cf. 274) id. (nol. Karsten) 421 πάρεισιν δόκαι Hermann[17], [18]256 (δοκαὶ Dind.[4]), cf. ad 404 423 ἐσθά F[a] 425 χειρῶν F οὐκέθ' ὕστερον Blaydes[4] 426 ὀπαδοῦσ' Dobree[3] 23/20: ὀπαδοῖς τ 429 ἑλλά-δος τ: corr. Klausen (Ἕλληνος), Bamberger[1] 48 συνορμένων Pearson[2], cf. Σ (ξυν- Dind.[6]): -νοις τ. cf. ad 431 ἀπένθεια Blass[3] 633: πένθεια Σ τ 430 τηξικάρδιος Bourdelot propter gl. in T τὴν καρδίαν τήκουσα (ὀδυνηρά Σ) 431 δόμοις Portus[2], cf. Σ: δόμων τ: δόμωι 'ν Dobree[3] 23/20 432 δ' οὖν West[7]: γοῦν τ

⟨– × ⟩ οὓς μὲν ἔπεμψεν
οἶδεν, ἀντὶ δὲ φωτῶν
435 τεύχη καὶ σποδὸς εἰς ἑκάσ-
του δόμους ἀφικνεῖται.

ὁ χρυσαμοιβὸς δ' Ἄρης σωμάτων — str. 3
καὶ ταλαντοῦχος ἐν μάχαι δορός
440 πυρωθὲν ἐξ Ἰλίου
φίλοισι πέμπει βαρὺ
ψῆγμα δυσδάκρυτον, ἀν-
τήνορος σποδοῦ γεμί-
ζων λέβητας εὐθέτου⟨ς⟩.
445 στένουσι δ' εὖ λέγοντες ἄν-
δρα τὸν μὲν ὡς μάχας ἴδρις,
τὸν δ' ἐν φοναῖς καλῶς πεσόντ' –
"ἀλλοτρίας διαὶ γυναικός"·
τάδε σῖγά τις βαΰζει,
450 φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει
προδίκοις Ἀτρείδαις.

437 cf. Hsch. χ 768 448 Epimer. Hom. AO I 119.14

433–6 colometria falsa in τ: οἶδεν | … τεύχη | … ἑκάστου | 433 οὓς μὲν F[a]: οὓς μὲν γὰρ T F[c] (et πέμψεν T): οὓς μὲν γάρ ⟨τις⟩ Porson[1]: ⟨οἵ⟩ους μὲν γὰρ G. C. W. Schneider: fort. potius ⟨γαῖα δ'⟩ vel ⟨γᾶ γὰρ⟩ οὓς μὲν vel sim. 434 βροτῶν T 435 sq. πρὸς ἑκάστου τοὺς | δόμους εἰσαφικνεῖται T 439 μάχη τ (-ῃ T) 441 βαρὺ Σ τ (cf. Eur. Supp. 1124. Soph. El. 1140): βραχὺ Schütz[6] (cf. Eur. Supp. 1129. Soph. El. 757. 1113. 1142) 443 γεμίξων F[1] τοὺς λέβητας T 444 εὐθέτους Aur.[3]: -του τ 446 μάχης τ: corr. Blaydes[7] 10 448 διαὶ Epimer. Hom.: διὰ F, γε διὰ T 449 σιγᾷ F 451 προδίκοισιν F

οἳ δ' αὐτοῦ περὶ τεῖχος
θήκας Ἰλιάδος γᾶς
εὔμορφοι κατέχουσιν, ἐχ-
455 θρὰ δ' ἔχοντας ἔκρυψεν.

βαρεῖα δ' ἀστῶν φάτις ξὺν κότωι, ant. 3
δημοκρά⟨ν⟩του δ' ἀρᾶς τίνει χρέος·
μένει δ' ἀκοῦσαί τί μου
460 μέριμνα νυκτηρεφές·
τῶν πολυκτόνων γὰρ οὐκ
ἄσκοποι θεοί, κελαι-
ναὶ δ' Ἐρινύες χρόνωι
τυχηρὸν ὄντ' ἄνευ δίκας
465 παλιντυχεῖ τριβᾶι βίου
τιθεῖσ' ἀμαυρόν, ἐν δ' ἀΐσ-
τοις τελέθοντος οὔτις ἀλκά.
τὸ δ' ὑπερκόπως κλύειν εὖ
βαρύ· βάλλεται γὰρ ὄσσοις
470 Διόθεν κεραυνός.

467 (ἀλκά) Hsch. α 3088

---

452 fort. τοὶ δ', cf. Pers. 568. 584. Sept. 298 454 εὔμορφοι Σ τ: εὐμόρφους Blomf.[10]: εὔμοιροι Burgersdijk 139, noluerat Hermann[32] (εὔμοροι Valckenaer[7]) 455 ἐχθρῶς T ἑλόντας Portus[2] 456 fort. γ', cf. Pers. 1044 ξὺν Porson[1]: σὺν τ 457 δημοκράτου τ: corr. Porson[1]: δημοκράκτου Hermann[1] 432: δημαράτου Heath 459 μοι Karsten 462 ἀπόσκοποι F 463 δ'οὖν T 465 παλιντυχῆ τ (-ῆ T): corr. Portus[1] παλιντριβεῖ τύχαι Keck[2] cl. 571. Eum. 924 468 ὑπερκόπως Portus[1]: -κότως τ 469 malim ὄσσων Δ. κεραυνῶι (κεραυνῶι Rauchenstein[3] 5, -οῖς Burges[0]), cf. 240.742.947

κρίνω δ' ἄφθονον ὄλβον·
μήτ' εἴην πτολιπόρθης,
μήτ' οὖν αὐτὸς ἁλοὺς ὑπ' ἄλ-
λων βίον κατίδοιμι.

475 πυρὸς δ' ὑπ' εὐαγγέλου epod.
πόλιν διήκει θοά
βάξις· εἰ δ' ἐτήτυμος,
τίς οἶδεν, εἴτε θεῖον †ἐστιν μή† ψύθος;
τίς ὧδε παιδνὸς ἢ φρενῶν κεκομμένος,
480 φλογὸς παραγγέλμασιν
νέοις πυρωθέντα καρδίαν ἔπειτ'
ἀλλαγᾶι λόγου καμεῖν;
{ἐν} γυναικὸς αἰχμᾶι πρέπει
πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι.
485 πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται
ταχύπορος· ἀλλὰ ταχύμορον
γυναικογήρυτον ὄλλυται κλέος.

— τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων
490 φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγάς,

472 μὴδ' F πτολιπόρθις F: -πόρθος Blomf.[10] 473 ἁλόνθ' Margoliouth[2] ὑπ' ἄλλωι Karsten 474 αἰῶ L. Schmidt 543 κατέδοιμι Valckenaer[7] 476 τὴν πόλιν T 477 ἐτήτυμος Aur.[3]: ἐτητύμως τ 478 εἴτε Schneidewin[1] 213 (cf. Cho. 768. Eum. 468.612. Eur. Alc. 140): ἤ τοι TF, sed ει F[ss]: ἤ τι Dind.[4] (cf. Cho. 890) ἐστὶν μὴ F, ἐστι μὴ T: ἐστι Dind.[4], sed metrum (2ia ‸ia) insolitum: ἐστι δὴ Karsten: ἐστάλη Headlam[6] 246: possis ἐσπάρη, cf. fr. 78a, 65 481 πτερωθέντα Blomf.[3] 498 482 ἐν ἀλλαγᾶι Klausen, cf. ad 483 λόγους F 483 ἐν del. Scal.[2] 486 ταχύπορος τ: -πορον (... κλέος) Aur.[3] 489 Κλυτ. praefix. τ: del. Scal.[2] cf. ad 501 εἰσόμεθα F 490 φρυκτωρίας Wil.[5]

εἴτ' οὖν ἀληθεῖς εἴτ' ὀνειράτων δίκην
τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσεν φρένας·
κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον
κλάδοις ἐλαίας· μαρτυρεῖ δέ μοι κάσις
495 πηλοῦ ξύνουρος διψία κόνις τάδε,
ὡς οὔτ' ἄναυδος οὔτέ σοι δαίων φλόγα
ὕλης ὀρείας σημανεῖ καπνῶι πυρός,
ἀλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων –
τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον.
500 εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι·
χὤστις τάδ' ἄλλως τῆιδ' ἐπεύχεται πόλει,
αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν.

ΚΗΡΥΞ

ἰὼ πατρῷον οὖδας Ἀργείας χθονός,
δεκάτωι σε φέγγει τῶιδ' ἀφικόμην ἔτους,
505 πολλῶν ῥαγεισῶν ἐλπίδων μιᾶς τυχών·
οὐ γάρ ποτ' ηὔχουν τῆιδ' ἐν Ἀργείαι χθονὶ
θανὼν μεθέξειν φιλτάτου τάφου μέρος.
νῦν χαῖρε μὲν χθών, χαῖρε δ' ἡλίου φάος,
ὕπατός τε χώρας Ζεύς, ὁ Πύθιός τ' ἄναξ,
510 τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη·
ἅλις παρὰ Σκάμανδρον ἦσθ' ἀνάρσιος·

492 cf. Hsch. ε 7444 495 (διψία κόνις) cf. Hsch. δ 2030 496 cf. Hsch. δ 124 510 Tz. Exeg. Il. 125.15 L.

---

492 τερπνῶν F. W. Schmidt 35 495 ξύνωρος Karsten 496 οὔτέ σοι τ (cf. Eum. 140): οὔτε τοι Haupt: οὗτος, οὐ Wil.[5] 497 πανῶι Starkie 501 χὤστις Wil.[5]: χ̊ ὅστισ F, χὸ ὅστισ T: chori notam deleverat Scal.[2] πόλει τ 504 δεκάτου Jacob[2] 511 ἦλθ' F, ἦλθες T F[ss]: corr. Needham

νῦν {δ'} αὖτε σωτὴρ ἴσθι καὶ παιώνιος,
ἄναξ Ἄπολλον. τούς τ' ἀγωνίους θεούς
πάντας προσαυδῶ, τόν τ' ἐμὸν τιμάορον
515 Ἑρμῆν, φίλον κήρυκα κηρύκων σέβας,
ἥρως τε τοὺς πέμψαντας, εὐμενεῖς πάλιν
στρατὸν δέχεσθαι τὸν λελειμμένον δορός.
ἰὼ μέλαθρα, βασιλέων φίλαι στέγαι,
σεμνοί τε θᾶκοι, δαίμονές τ' ἀντήλιοι·
520 εἴ που πάλαι, φαιδροῖσι τοισίδ' ὄμμασιν
δέξασθε κόσμωι βασιλέα πολλῶι χρόνωι·
ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνηι φέρων
καὶ τοῖσδ' ἅπασι κοινὸν Ἀγαμέμνων ἄναξ.
ἀλλ' εὖ νιν ἀσπάσασθε, καὶ γὰρ οὖν πρέπει,
525 Τροίαν κατασκάψαντα τοῦ δικηφόρου
Διὸς μακέλληι, τῆι κατείργασται πέδον
{βωμοὶ δ' ἄϊστοι καὶ θεῶν ἱδρύματα}
καὶ σπέρμα πάσης ἐξαπόλλυται χθονός.
τοιόνδε Τροίαι περιβαλὼν ζευκτήριον
530 ἄναξ Ἀτρείδης πρέσβυς εὐδαίμων ἀνὴρ
ἥκει· τίεσθαι δ' ἀξιώτατος βροτῶν
τῶν νῦν· Πάρις γὰρ οὔτε συντελὴς πόλις
ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον.
ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην
535 τοῦ ῥυσίου θ' ἥμαρτε καὶ πανώλεθρον
αὐτόχθονον πατρῶιον ἔθρισεν δόμον·

513 cf. ad Supp. 189

---

512 δ' del. West[7] καὶ παγώνιος (ex 513) F, κἀπαγώνιος T (Σ_F ἀπόμαχος): corr. Dobree[3] 24/20 **518** fort. βασιλέωιν **520** εἴ Bourdelot: ἤ *τ* περ vel πω Headlam[4] 306 π^υάλαι F τοῖσιδ' F: τοῖσιν T **521** δέξαισθε T: -εσθε Scal.[2], Casaub.[1] possis κώμωι, cf. Pind. P. 8.18–20 **522** ἡμῖν F **527** (cf. Pers. 811) del. Salzmann 10 **534** ὄφλων *τ*: corr. Blomf.[12]

διπλᾶ δ' ἔτεισαν Πριαμίδαι θἀμάρτια.
ΧΟ. κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ.
ΚΗ. χαίρω· †τεθνᾶναι† δ' οὐκέτ' ἀντερῶ θεοῖς.
540 ΧΟ. ἔρως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασεν;
ΚΗ. ὥστ' ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὕπο.
ΧΟ. τερπνῆς ἄρ' ἦστε τῆσδ' ἐπήβολοι νόσου.
ΚΗ. πῶς δή; διδαχθεὶς τοῦδε δεσπόσω λόγου.
ΧΟ. τῶν ἀντερώντων ἱμέρωι πεπληγμένοι.
545 ΚΗ. ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις;
ΧΟ. ὡς πόλλ' ἀμαυρᾶς ἐκ φρενός ⟨μ'⟩ ἀναστένειν.
ΚΗ. πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν στύγος †στρατῶι†;
ΧΟ. πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω.
ΚΗ. καὶ πῶς; ἀπόντων κοιράνων ἔτρεις τινάς;
550 ΧΟ. ὡς νῦν, τὸ σὸν δή, καὶ θανεῖν πολλὴ χάρις.
ΚΗ. εὖ γὰρ πέπρακται. ταῦτα δ' ἐν πολλῶι χρόνωι
τὰ μέν τις ἂν λέξειεν εὐπετῶς ἔχειν,
τὰ δ' αὖτε κἀπίμομφα· τίς δὲ πλὴν θεῶν
ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον;

539 (τεθν. –) Σ ad 550

---

537 ἔτισαν τ: corr. Kirchhoff[2] 538–50 Clytaemestrae notam pro chori nota habent codd.: corr. Heath 538 κήρυξ T: κῆρυξ F 539 τεθνᾶναι δ' τ et Σ ad 550: ⟨τὸ⟩ τεθνάναι δ' Schneidewin[3?]: ⟨τε⟩ τεθνάναι τ' Heimsoeth[1] 91: τεθναίην δ'· Headlam[2] 298 οὐκέτ' T, Σ$_T$ 550: οὐκ F 541 ἐκδακρύειν T (ex Eur. Or. 1122. Pho. 1344) 542 possis τερπνῶς ἴστε F, ἦτε T: corr. Ahrens[7] 543 ita interpunxit Schütz[2], cf. Eum. 431.601. Supp. 289: πῶς δὴ δ. – λόγου; τ 544 fort. τῶν ⟨γ'⟩ vel ἀντερώντων ⟨γ'⟩ πεπληγμένος τ: corr. Tyrwhitt[1] 545 ποθοῦσαν Blaydes[2] 546 φρενός ⟨μ'⟩ Scal.[2]: possis ἐξαναστένειν φρενός 547 στύγος; φράσον Jacobs[1] 195, cf. Pers. 350.717: στ. λεῶι Heimsoeth[1] 423, cf. ad Pers. 279 549 τυράννων F 550 ὡς Aur.[3]: ὧν Σ τ 551 ταὐτὰ anon.[2]: πάντα Haupt: πολλὰ Weil[2] (cf. Hdt. 1.32.2) 552 ἂν Aur.[3]: εὖ τ

555 μόχθους γὰρ εἰ λέγοιμι καὶ δυσαυλίας
⟨. . . . .⟩
σπαρνὰς παρήξεις καὶ κακοστρώτους, τί δ' οὐ
στένοντες, οὐ λαχόντες ἤματος μέρος;
τὰ δ' αὖτε χέρσωι καὶ πλέον προσῆν στύγος·
εὐναὶ γὰρ ἦσαν δαΐων πρὸς τείχεσιν,
560 ἐξ οὐρανοῦ δὲ κἀπὸ γῆς λειμώνιαι
δρόσοι κατεψάκαζον, ἔμπεδον σίνος,
ἐσθημάτων τιθέντες ἔνθηρον τρίχα.
χειμῶνα δ' εἰ λέγοι τις οἰωνοκτόνον,
οἷον παρεῖχ' ἄφερτον Ἰδαία χιών,
565 ἢ θάλπος, εὖτε πόντος ἐν μεσημβριναῖς
κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσών –
τί ταῦτα πενθεῖν δεῖ; παροίχεται πόνος·
παροίχεται δέ, τοῖσι μὲν τεθνηκόσιν
τὸ μήποτ' αὖθις μηδ' ἀναστῆναι μέλειν,
573 ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείων στρατοῦ
574 νικᾶι τὸ κέρδος, πῆμα δ' οὐκ ἀντιρρέπει.
570 τί τοὺς ἀναλωθέντας ἐν ψήφωι λέγειν,
τὸν ζῶντα δ' ἀλγεῖν χρὴ τύχης παλιγκότου;

556 cf. Hsch. σ 1415

post 555 lac. stat. Heyse: ⟨Αἰγαῖον ἐκπερῶντες αἷς ἐκάμνομεν⟩ e.g. Wil.[18] 170 n. 3 556 παρείξεις Ahrens[8] 541 κακοτρώτους F 557 'vigiliam diurnam non sortiti' 558 τάδ' τ: dist. Vict. προσῆν πλέον τ: trai. Sonny 559 δαΐων Dind.[4]: δηΐων τ 560 ὄμβροι δὲ (τε malim) δῖοι κἀπὸ Lawson[1] propter 562 τιθέντες δὲ Bourdelot: γὰρ τ λειμωνίαι τ 561 κατεψάκαζον Dind.[1]: -ψέκαζον τ 562 post ἐσθημάτων interpunxit τ τρίχα] fort. κρόκα 563 λέγει T 566 νήνεμός θ' Blaydes[4] 568 δέ] δή Rauchenstein[0] 570–2 post 574 trai. Elberling: del. Nägelsbach[2] 571 τί ζῶντα Aur.[3]

572 καὶ πολλὰ χαίρειν ξυμφοραῖς καταξιῶ
⟨. . . . .⟩
575 ὡς κομπάσαι τῶιδ' εἰκὸς ἡλίου φάει,
ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτωμένοις
⟨. . . . .
. . . .⟩
"Τροίαν ἑλόντες δήποτ' Ἀργείων στόλος
θεοῖς λάφυρα ταῦτα τοῖς καθ' Ἑλλάδα
δόμοις ἐπασσάλευσαν ἀρχαῖον γάνος."
580 τοιαῦτα χρὴ κλυόντας εὐλογεῖν πόλιν
καὶ τοὺς στρατηγούς, καὶ χάρις τιμήσεται
Διὸς τόδ' ἐκπράξασα. πάντ' ἔχεις λόγον.
ΧΟ. νικώμενος λόγοισιν οὐκ ἀναίνομαι·
αἰεὶ γὰρ ἡβᾶι τοῖς γέρουσιν εὐμαθεῖν.
585 δόμοις δὲ ταῦτα καὶ Κλυταιμήστραι μέλειν
εἰκὸς μάλιστα, ξὺν δὲ πλουτίζειν ἐμέ.

ΚΛ. ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο,
ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρός

587–9 imit. Christ. Pat. 71–3

---

572 καὶ] fort. ἢ συμφοραῖς τ (ξυμ- Schütz[2]): -ρὰς Blomf.[10] lac. stat. West[7] desiderans fere ⟨εἰπεῖν· ἐπαίνοις νῦν ἐνέξεται στρατός,⟩ 575 τόδ' Jacob[2]: τάδ' Blomf.[10] 576 ποτώμενος Weil[2] 50, versu post 588 traiecto: (τάδ' εἰκὸς ...) ποτώμενα id.[6] 131: (φάει ...) ποτωμένωι Heath lac. stat. West[7]: 'et spolia in delubris dedicata memoriam nostram servabunt in aeternum, intuitus enim dicet aliquis talia' 577 τροίην F 579 δόμων ... ἀρχαίων Hartung: δόμοις ... ἀρχαίοις Porson[0] 580–2 h.e. ἡ πόλις ὀφείλει τούς τε στρατηγοὺς εὐλογεῖν καὶ τὸν Δία 580 κλύοντας τ: corr. Wil.[19] 584 ἀεὶ τ εὐμαθεῖν Headlam[15]: εὖ μαθεῖν τ 585 κλυταιμν- τ: corr. Wecklein[11] 586 ξὺν Porson[1]: σὺν τ 587 ἀνωλολύξαμεν τ: dist. Steph. cf. Chr. Pat. 71

φράζων ἅλωσιν Ἰλίου τ' ἀνάστασιν.
590 καί τίς μ' ἐνίπτων εἶπε, "φρυκτώρων δια⟨ί⟩
πεισθεῖσα Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς;
ἦ κάρτα πρὸς γυναικὸς αἴρεσθαι κέαρ."
λόγοις τοιούτοις πλαγκτὸς οὖσ' ἐφαινόμην·
ὅμως δ' ἔθυον, καὶ γυναικείωι νόμωι
595 ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν
ἔλασκον εὐφημοῦντες, ἐν θεῶν ἕδραις
θυηφάγον †κοιμῶντες† εὐώδη φλόγα.
καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σέ μοι λέγειν;
ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον·
600 ὅπως δ' ἄριστα τὸν ἐμὸν αἰδοῖον πόσιν
σπεύσω πάλιν μολόντα δέξασθαι. τί γὰρ
γυναικὶ τούτου φέγγος ἥδιον δρακεῖν,
ἀπὸ στρατείας ἄνδρα σώσαντος θεοῦ
πύλας ἀνοῖξαι; ταῦτ' ἀπάγγειλον πόσει,
605 ἥκειν ὅπως τάχιστ' ἐράσμιον πόληι.
γυναῖκα πιστὴν δ' ἐν δόμοις εὕροι μολὼν
οἵανπερ οὖν ἔλειπε, δωμάτων κύνα
ἐσθλὴν ἐκείνωι, πολεμίαν τοῖς δύσφροσιν,
καὶ τἄλλ' ὁμοίαν πάντα, σημαντήριον
610 οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου·
οὐδ' οἶδα τέρψιν οὐδ' ἐπίψογον φάτιν

591 cf. Hsch. π 1496 **593–7** imit. Christ. Pat. 79–82 **605** cf. Hsch. ε 5632 **611–2** imit. Christ. Pat. 65–6

---

590 ἐνίπτων F φρυκτωρῶν Abresch I 319, at τὰ φρύκτωρα est u. v. cf. Lyc. 345 διὰ τ: corr. Sansone 3 **593** πλακτὸς T **597** κοσμοῦντες Legrand 11: κομοῦντες Pauw: κινοῦντες Karsten: φέρουσά τ' Chr. Pat. 82 **598** σέ μοι Wieseler[0]: σ' ἐμοὶ τ **605** ἥκειν ⟨θ'⟩ Blaydes[4] 358: ⟨δ'⟩ Weil[6] 132 πόλει τ **608** possis ἐσθλὴν φίλοισι πολεμίαν] δαΐαν Wecklein[13] **611** οὐκ οἶδα Schütz[2] (et ita Chr. Pat. 65. 522)

ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφάς.
τοιόσδ' ὁ κόμπος, τῆς ἀληθείας γέμων,
οὐκ αἰσχρὸς ὡς γυναικὶ γενναίαι λακεῖν.

615 ΧΟ. αὕτη μὲν οὕτως εἶπε, μανθάνοντί σοι
τοροῖσιν ἑρμηνεῦσιν εὐπρεπῆ λόγον.
σὺ δ' εἰπὲ κῆρυξ, Μενέλεων δὲ πεύθομαι,
εἰ νόστιμός γε καὶ σεσωμένος πάλιν
ἥκει ξὺν ὑμῖν, τῆσδε γῆς φίλον κράτος.
620 ΚΗ. οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψεύδη καλά
εἰς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον.
ΧΟ. πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ τἀληθῆ τύχοις;
σχισθέντα δ' οὐκ εὔκρυπτα γίγνεται τάδε.
ΚΗ. ἀνὴρ ἄφαντος ἐξ Ἀχαιϊκοῦ στρατοῦ,
625 αὐτός τε καὶ τὸ πλοῖον. οὐ ψεύδη λέγω.
ΧΟ. πότερον ἀναχθεὶς ἐμφανῶς ἐξ Ἰλίου,
ἢ χεῖμα, κοινὸν ἄχθος, ἥρπασε στρατοῦ;
ΚΗ. ἔκυρσας ὥστε τοξότης ἄκρος σκοποῦ,
μακρὸν δὲ πῆμα ξυντόμως ἐφημίσω.
630 ΧΟ. πότερα γὰρ αὐτοῦ ζῶντος ἢ τεθνηκότος
φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο;
ΚΗ. οὐκ οἶδεν οὐδεὶς ὥστ' ἀπαγγεῖλαι τορῶς
πλὴν τοῦ τρέφοντος Ἡλίου χθονὸς φύσιν.

613 praeconi trib. τ: corr. Hermann[32] 615 σοι] τωι Blaydes[4] 358 616 εὐπρεπῆ Aur.[3]: εὐπρεπῶς τ 617 κήρυξ T: κῆρυξ F 618 τε Paley[1] σεσωσμένος τ: corr. Wecklein[1] 62 619 ἥκει Karsten: ἥξει τ ξὺν Schütz[2]: σὺν τ 620 ψεύδη hic et 625 dedi: ψευδῆ τ. cf. e.g. Soph. Ph. 108 sq. 622–35 Clytaemestrae notam pro chori nota habent codd.: corr. Portus[2] 622 τύχης τ: corr. Porson[1] 623 γίνεται τ: corr. Schütz[2] 624 ἀνὴρ τ: corr. Peile ἄφαντος ἀνὴρ Thomson[4] 626 πρότερος Heyse 629 ξυντόμως Porson[1]: συν- τ

ΧΟ. πῶς γὰρ λέγεις χειμῶνα ναυτικῶι στρατῶι
635 ἐλθεῖν τελευτῆσαί τε δαιμόνων κότωι;
ΚΗ. εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλωι
γλώσσηι μιαίνειν· χωρὶς ἡ τιμὴ θεῶν.
ὅταν δ' ἀπευκτὰ πήματ' ἄγγελος πόληι
σμοιῶι προσώπωι πτωσίμου στρατοῦ φέρηι,
640 πόληι μὲν ἕλκος ἓν τὸ δήμιον τυχεῖν,
πολλοὺς δὲ πολλῶν ἐξαγισθέντας δόμων
ἄνδρας διπλῆι μάστιγι, τὴν Ἄρης φιλεῖ,
δίλογχον ἄτην, φοινίαν ξυνωρίδα,
τοιῶνδε μέν τοι πημάτων σεσαγμένον
645 πρέπει λέγειν παιῶνα τόνδ' Ἐρινύων·
σωτηρίων δὲ πραγμάτων εὐάγγελον
ἥκοντα πρὸς χαίρουσαν εὐεστοῖ πόλιν,
πῶς κεδνὰ τοῖς κακοῖσι συμμείξω, λέγων
χειμῶν' Ἀχαιοῖς οὐκ ἀμήνιτον θεῶν;
650 ξυνώμοσαν γάρ, ὄντες ἔχθιστοι τὸ πρίν,
πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην
φθείροντε τὸν δύστηνον Ἀργείων στρατόν.
ἐν νυκτὶ δυσκύμαντα δ' ὠρώρει κακά·
ναῦς γὰρ πρὸς ἀλλήλησι Θρήικιαι πνοαί
656 πρηστῆρι τυφῶι ξὺν ζάληι τ' ὀμβροκτύπωι

639 Hsch. σ 1270 σμοιῶι προσώπωι· φοβερῶι ἢ στυγνῶι, σκυθρωπῶι

---

638 (et 640) πόλει τ 639 σμοιῶι M. Schmidt[2] ex Hsch.: στυγνῷ τ (-ῷ T) 640 τυχόν Blomf.[10] 641 ἐξορισθέντας T[gl] F[gl]: possis ἐξατυχθέντας (vel -σθ-) 644 σεσαγμένον Schütz[2]: -μένων τ: -μένωι Hermann[32] 645 παιῶνα Fraenkel[1]: παιᾶνα τ 648 συμμίξω τ: corr. Kirchhoff[2] 649 ἀχαιῶν ... θεοῖς τ: corr. Blomf.[10] 652 sq. στρατὸν ἐν νυκτί· Hermann[32] δυσκοίμ- F[a] 654 ἀλλήλησι F: -αισι T 656.655 hoc ordine Mähly[1] 447 656 πρηστῆρι West[7]: χειμῶνι, τ τυφῷ T, τυφῶ F idem volens ξὺν Schütz[2]: σὺν τ

655 ἤρεικον· αἳ δὲ κεροτυπούμεναι βίαι
657 ᾤιχοντ' ἄφαντοι ποιμένος κακοῦ στρόβωι.
ἐπεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου φάος,
ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς
660 ἀνδρῶν Ἀχαιῶν ναυτικοῖς τ' ἐρειπίοις.
ἡμᾶς γε μὲν δὴ ναῦν τ' ἀκήρατον σκάφος
ἤτοί τις ἐξέκλεψεν ἢ 'ξῃτήσατο
θεός τις, οὐκ ἄνθρωπος, οἴακος θιγών,
Τύχη δὲ σωτὴρ ναῦν θέλουσ' ἐφέζετο,
665 ὡς μήτ' †ἐν ὅρμωι† κύματος ζάλην ἔχειν
μήτ' ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα.
ἔπειτα δ' Ἅιδην πόντιον πεφευγότες,
λευκὸν κατ' ἦμαρ, οὐ πεποιθότες τύχηι,
ἐβουκολοῦμεν φροντίσιν νέον πάθος
670 στρατοῦ καμόντος καὶ κακῶς σποδουμένου.
καὶ νῦν ἐκείνων ⟨τ'⟩ εἴ τίς ἐστιν ἐμπνέων,
λέγουσιν ἡμᾶς ὡς ὀλωλότας, τί μή⟨ν⟩;
ἡμεῖς τ' ἐκείνους ταὔτ' ἔχειν δοξάζομεν.
γένοιτο δ' ὡς ἄριστα· Μενέλεων γὰρ οὖν
675 πρῶτόν τε καὶ μάλιστα προσδόκα μολεῖν.
εἰ δ' οὖν τις ἀκτὶς ἡλίου νιν ἱστορεῖ
χλωρόν τε καὶ βλέποντα μηχαναῖς Διός

659 Phot. α 1948, Anon. π. βαρβαρισμοῦ p. 197 Valck., Greg. Cor. in Hermog., Rhet. VII 1133.14 W. 676 cf. Hsch. ι 1028 677 Hsch. χ 553 χλωρόν τε καὶ βλέποντα· ἀντὶ τοῦ ζῶντα

---

655 ἤρειπον T κερωτυπ- Σ^{λ} *τ*: corr. Wasse ad Thuc. 2.84 659 Ἀργείων νεκροῖς Greg. Cor. 660 ναυτικῶν τ' ἐριπίων *τ*: corr. Bourdelot 661 νεώς τ' anon.[1] 664 susp. Schütz[2] tamquam a loco simili adscriptum 665 ἄνορμον Bothe[1]: ἀνόρμου Keck[2]. exspecto 'nec mari medio fluctibus obrui nec litori saxoso illidi' 671 ⟨τ'⟩ Hartung 672 μή· *τ*: corr. Linwood[1] 221 673 ταὔτ' Aur.[3]: ταῦτ' *τ* 677 χλωρόν τε Toup III 302 ex Hsch.: καὶ ζῶντα *τ*

οὔπω θέλοντος ἐξαναλῶσαι γένος,
ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν.
680 τοσαῦτ' ἀκούσας ἴσθι τἀληθῆ κλυών.

ΧΟ. τίς ποτ' ὠνόμαζεν ὧδ' εἰς τὸ πᾶν ἐτητύμως — str. 1
μή τις ὅντιν' οὐχ ὁρῶ-
685 μεν, προνοίαισ⟨ι⟩ τοῦ πεπρωμένου
γλῶσσαν ἐν τύχαι νέμων —
τὰν δορίγαμβρον ἀμφινεικῆ θ'
Ἑλέναν; ἐπεὶ πρεπόντως
690 ἑλέναυς ἕλανδρος ἑλέπτολις ἐκ τῶν ἁβροπήνων
προκαλυμμάτων ἔπλευσε
Ζεφύρου γίγαντος αὔραι,
πολύανδροί τε φεράσπιδες κυναγοὶ
695 κατ' ἴχνος πλατᾶν ἄφαντον,
κελσάντων Σιμόεντος ἀκτὰς ἐπ' ἀεξιφύλλους
δι' Ἔριν αἱματόεσσαν.

700 Ἰλίωι δὲ κῆδος ὀρθώνυμον τελεσσίφρων ant. 1
Μῆνις ἤλασεν, τραπέ-
ζας ἀτίμωσιν ὑστέρωι χρόνωι
καὶ ξυνεστίου Διός

692 cf. Hsch. γ 548, AB 232.21, Et.M. 231.19

---

680 κλυὼν sic Casaub.[1]: κλύων F: κλύειν T F[ss] 681 ὠνόμαξεν F 685 προνοίαις τ: corr. Pauw 687 fort. δορύγαμβρον, cf. praef. 689 ἑλέναυς (cf. 212) Blomf.[10]: ἑλένας τ 690 ἁβροπήνων Salmasius 78a: ἁβροτίμων τ 691 ἔπλευσεν τ 695 πλάταν τ: corr. Heath: πλάτας Canter 696 κέλσαν τὰς anon.[1] (ἔκελσαν τὰς Aur.[3]), κέλσαν τοῦ Casaub.[1], at cf. Eur. Tro. 1002 sq. 697 ἀκτὰσ | εἰς ἀεξι- T: ἀκτᾶσ | ἐπ'ἀξι- F: corr. Casaub.[1] 700 τελεσίφρων T[a]?F 701 ἤλασε τ: corr. Porson[1] 702 ἀτίμωσ | ἵν' F: ἀτίμως T: corr. Canter

705 πρασσομένα τὸ νυμφότιμον
μέλος ἐκφάτως τίοντας,
ὑμέναιον, ὃς τότ' ἐπέρρεπε γαμβροῖσιν ἀείδειν.
μεταμανθάνουσα δ' ὕμνον
710 Πριάμου πόλις γεραιά
πολύθρηνον, μέγα που στένει κικλήσκου-
σα Πάριν τὸν αἰνόλεκτρον,
715 παμπορθῆ πολύθρηνον αἰῶ θεμένα πολιτᾶν,
μέλεον αἷμ' ἀνατλᾶσα.

ἔθρεψεν δὲ λέοντος ἶ- str. 2
νιν δόμοις ἀγάλακτον οὕ-
τως ἀνὴρ φιλόμαστον,
720 ἐν βιότου προτελείοις
ἅμερον, εὐφιλόπαιδα,
καὶ γεραροῖς ἐπίχαρτον·
πολέα δ' ἔσκ' ἐν ἀγκάλαις
νεοτρόφου τέκνου δίκαν,
725 φαιδρωπὸς ποτὶ χεῖρα σαί-
νων τε γαστρὸς ἀνάγκαις·

715 cf. ad 229

---

707 ὃν τότ' Schütz[2]; sed ὑμέναιον glossematis speciem habet, nec placet brevis in longo τίοντᾰς: possis τὸ μὲν ἀγλαῶς τότ' ἐπέρρεπεν | F: ἐπέπρεπεν | T: corr. Porson[1] 711 sq. μετά που Schneidewin[5] κικλήσκουσ' Ἄπαριν Robertson[2] 714 παμπορθῆ Seidler[0]: παμπρόσθη τ: λήθη ss. T (sc. παμπλήθη?): παμπενθῆ Portus[1] πολύδακρυν Schütz[2], possis et πολύκλαυτον 715 αἰῶνα πολύθρηνον καὶ μέλεον αἷμα ἀνατλᾶσα διὰ τὸν πολίτην αὐτῆς τὸν Ἀλέξανδρον Σ_{T} αἰῶ Emperius[1] 628, θεμένα West[7], πολιτᾶν Scal.[2]: αἰῶν' ἀμφὶ πολίταν Σ[uv] τ. ἀμφι(θεμένα) voluerat glossator puto 717 λέοντα | σίνιν τ: corr. Conington[3] 83 sq. 718 οὗτοσ F[a1] 722 γεραιοῖς Bourdelot, cf. Tyrt. 10.20. Eur. Supp. 42 723 ἔσκ' Casaub.[1]: ἔσχ' τ 725 (ἔσχ' ...) φαιδρωπὸν ... σαίνοντα Aur.[3]

χρονισθεὶς δ' ἀπέδειξεν ἦ- ant. 2
θος τὸ πρὸς τοκέων· χάριν
γὰρ τροφεῦσιν ἀμείβων
730 μηλοφόνοισι ⟨σὺ⟩ν ἄταις
δαῖτ' ἀκέλευστος ἔτευξεν,
αἵματι δ' οἶκος ἐφύρθη,
ἄμαχον ἄλγος οἰκέταις,
μέγα σίνος πολυκτόνον·
735 ἐκ θεοῦ δ' ἱερεύς τις Ἄ-
τας δόμοις προσεθρέφθη.

πάραυτα δ' ἐλθεῖν ἐς Ἰλίου πόλιν λέγοιμ' ἂν str. 3
740 φρόνημα μὲν νηνέμου γαλάνας,
ἀκασκαῖον ⟨δ'⟩ ἄγαλμα πλούτου,
μαλθακὸν ὀμμάτων βέλος,
δηξίθυμον ἔρωτος ἄνθος·
παρακλίνασ' ἐπέκρανεν
745 δὲ γάμου πικρὰς τελευτάς,
δύσεδρος καὶ δυσόμιλος
συμένα Πριαμίδαισιν
πομπᾶι Διὸς ξενίου
νυμφόκλαυτος Ἐρινύς.

737 cf. Hsch. (Cyr.) π 724

---

727 ἔθος τ: corr. Conington l.c. 728 τοκήων F 729 τροφᾶς F 730 -οισι σὺν Fix: -οισιν τ: -οισιν ἐν Bothe[2] ἅταισιν T 731 ἀκέλευτος? 733 ἄμαχον δ' F 734 πολύκτονον τ: corr. Bothe[1], nisi πολύστονον mavis 736 προσεθρέφθη Porson[1]: προσετράφη τ 737 παραυτὰ τ δ'οὖν T (ut trimetrum faceret, cf. ad 750) 741 ⟨δ'⟩ Schütz[2]: ⟨τ'⟩ Hermann[32]: possis ⟨γ'⟩ 744 παρακλίνουσ' T 745 πικροῦ ss. ὰς F 746 δῦσερο currente calamo in -εδροσ corr. F

750 παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος τέτυκται, ant. 3
μέγαν τελεσθέντα φωτὸς ὄλβον
τεκνοῦσθαι μηδ' ἄπαιδα θνάισκειν,
755 ἐκ δ' ἀγαθᾶς τύχας γένει
βλαστάνειν ἀκόρεστον οἰζύν.
δίχα δ' ἄλλων μονόφρων εἰ-
μί· τὸ δυσσεβὲς γὰρ ἔργον
μετὰ μὲν πλείονα τίκτει,
760 σφετέραι δ' εἰκότα γένναι·
οἴκων γὰρ εὐθυδίκων
καλλίπαις πότμος αἰεί.

φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεά- str. 4
765 ζουσαν ἐν κακοῖς βροτῶν
ὕβριν τότ' ἢ τόθ', ὅτε τὸ κύριον μόληι
φάος, κότον νεώρη,
δαίμονά τε τὰν ἄμαχον ἀπόλεμον,
770 ἀνίερον θράσος μελαί-
νας μελάθροισιν Ἄτας,
εἰδομέναν τοκεῦσιν.

Δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοις δώμασιν, ant. 4
775 τὸν δ' ἐναίσιμον τίει

763–5 imit. Christ. Pat. 39

---

750 ἐν τοῖς T cf. ad 737   754 θνάισκειν cf. Sept. 748 (v.l.): θνήσκειν τ   758 τὸ γὰρ δυσσεβὲσ τ: corr. Pauw   766 ὅτε Klausen: ὅταν τ   767 ita Fraenkel[1] (φάος iam Scal.[2], φ. κ. νεάρη Pasquali 230): νεαρὰ φάους κότον τ: {νεαρὰ} φάος τόκου Ahrens[7]   768 τε τὰν Blomf.[3] 499: τε τὸν τ: τίταν Heimsoeth[1] 348: ἑτέραν Wil.[18] 197   769 ἄμαχον om. T sed super ἀπόλεμον praebet gl. τὸν ἄμαχον   771 μέλαιναν ... ἄταν Aur.[3]   μελάθροισ F   772 εἰδόμενον Pauw: -μένας Casaub.[1]   775 τ' Hartung

βίον· τὰ χρυσόπαστα δ' ἔδεθλα σὺν πίνωι
χερῶν παλιντρόποισ⟨ιν⟩
ὄμμασι λιποῦσ' ὅσια προσέμολε,
780 δύναμιν οὐ σέβουσα πλού-
του παράσημον αἴνωι·
πᾶν δ' ἐπὶ τέρμα νωμᾶι.

ἄγε δὴ βασιλεῦ, Τροίας π⟨τ⟩ολίπορθ',
Ἀτρέως γένεθλον,
785 πῶς σε προσείπω, πῶς σε σεβίξω,
μήθ' ὑπεράρας μήθ' ὑποκάμψας καιρὸν χάριτος;
πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι
προτίουσι δίκην παραβάντες·
790 τῶι δυσπραγοῦντί τ' ἐπιστενάχειν πᾶς τις ἕτοιμος,
δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται,
καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς
ἀγέλαστα πρόσωπα βιαζόμενοι
⟨. . . . . . .⟩

781 (παράσημον) Hsch. (Cyr.) π 664   790–4 Stob. 4.48.12; 794 (ἀγέλ. πρόσ.) Synag. AB 336.30, Phot. α 149 (Phryn. fr. 61 B.)

---

776 βίον del Ahrens[7]   χρυσόπαστ' sine δ' T   ἔδεθλα Aur.[3]: ἐσθλὰ τ: ἔσθλα Wil.[19]   777 παλιντρόποισιν Pauw: -τρόποισ F: παλίντροπ' T   779 προσέμολε Thiersch[0]: προσέβα | τοῦ, F (τοῦ gl. est ad πλούτου quod infra stat), προσέβα τοῦ | T: προσέβαλε Hermann[17]: προσέσυτο Ahrens[8] 556   780 δύνασιν Wil.[5], cf. Bacchyl. 10.49 v.l. (contra Thgn. 718. Eur. Pho. 440)   783 πολίπορθ' τ: corr. Blomf.[10] cf. 472   785 σεβίξω F[1]: σεβίζω TF[a]   789 παραβαίνοντεσ T paroemiaci inimicus   790 τ' Hermann[32]: δ' τ Stob.   791 δεῖγμα F   792 οὐδέν' Haupt   προσεφικνεῖται T   793 καὶ νυκτὶ δὲ χαίρουσιν Stob.; nempe νυξ pro ξυν scripserat aliquis   post 794 lac. stat. Blomf.[3] 499

795 ὅστις δ' ἀγαθὸς προβατογνώμων,
οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς
τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας
ὑδαρεῖ σαίνειν φιλότητι.
σὺ δ' ἐμοὶ τότε μὲν στέλλων στρατιὰν
800 Ἑλένης ἕνεκ', οὐ γάρ ⟨σ'⟩ ἐπικεύσω,
κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος,
οὐδ' εὖ πραπίδων οἴακα νέμων,
⟨. . . .⟩ θάρσος ἑκούσιον
ἀνδράσι θνήισκουσι κομίζων·
805 νῦν δ' οὐκ ἀπ' ἄκρας φρενὸς οὐδ' ἀφίλως
εὔφρων ⟨. . . . . .
. .⟩ πόνος εὖ τελέσασιν.
γνώσηι δὲ χρόνωι διαπευθόμενος
τόν τε δικαίως καὶ τὸν ἀκαίρως
πόλιν οἰκουροῦντα πολιτῶν.

ΑΓΑΜΕΜΝΩΝ

810 πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους
δίκη προσειπεῖν, τοὺς ἐμοὶ μεταιτίους
νόστου δικαίων θ' ὧν ἐπραξάμην πόλιν
Πριάμου· δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοί

795 (προβατογν.) cf. Et.M. 236.49

---

798 σαίνει Casaub. 799 δέ μοι τ 800 οὐ γὰρ τ, σ' add. Musgrave: οὐκ Hermann[32] (cf. Prom. 266. Headlam[1] 121–3): οὐδ' Schneidewin[5] post 801 dimetrum deesse ci. Lloyd-Jones[5] 55 (⟨οὐ ...⟩ West ibid.) 803 desideratur ⟨αἰπὺ γυναικὸς⟩ θάρσος vel sim.: ⟨τῆς θηλείας⟩ Weil[2] θράσοσ T[a]F: θράσος ἐκ θυσιῶν (cf. 101) Ahrens[7], cui addiderim ⟨τῶν οὐ νομίμων⟩ vel sim. 804 ἀνδράσιν εὖ T 806 lac. post ἀφίλως stat. Schneidewin[4], post εὔφρων Hense: ⟨αἰνῶ τόδ' ἔπος προτέρων· "ἡδὺς⟩ πόνος e.g. Fraenkel[1]: malim ⟨εὕδει⟩ πόνος εὔφρων τίς T πόνον Bourdelot, quo recepto τελέσασιν ⟨ἐγώ·⟩ Wil.[5]

κλυόντες, ἀνδροθνῆτας, Ἰλίου φθορᾶς
815 εἰς αἱματηρὸν τεῦχος οὐ διχορρόπως
ψήφους ἔθεντο· τῶι δ' ἐναντίωι κύτει
Ἐλπὶς προσῄει, χειρὸς οὐ πληρουμένωι.
καπνῶι δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις·
Ἄτης θύελλαι ζῶσι· συνθνῄσκουσα δέ
820 σποδὸς προπέμπει πίονας πλούτου πνοάς.
τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν
τίνειν, ἐπείπερ χἀρπαγὰς ὑπερκόπους
ἐπραξάμεσθα, καὶ γυναικὸς οὕνεκα
πόλιν διημάθυνεν Ἀργεῖον δάκος
825 ἵππου νεοσσός, ἀσπιδηφόρος λεώς,
πήδημ' ὀρούσας ἀμφὶ Πλειάδων δύσιν·
ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λέων
ἄδην ἔλειξεν αἵματος τυραννικοῦ.
θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε·
830 τὰ δ' εἰς τὸ σὸν φρόνημα, μέμνημαι κλυών
καί φημι ταὐτὰ καὶ ξυνήγορόν μ' ἔχεις.
παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε,
φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνων σέβειν·

832–3 Stob. 3.38.28

814 κλύοντες τ: corr. Wil.[19] ἀνδροθνῆτας ad δίκας rettulit Ahrens[8] 564; cf. Supp. 934–7 ἀνδροκμῆτας Blomf.[3] 499 φθορᾶς Dobree[3] 24/21, cf. sch. Triclinii et 406: φθορὰς τ: Ἰλιοφθόρους Karsten 822 χἀρπαγὰς Tyrwhitt[1]: καὶ παγὰσ τ: ἁρπαγὰς Herwerden[1] 97 (καὶ ex 823 transilire potuit) ὑπερκότους τ: corr. Heath 824 ἄγριον Blomf.[3] 500 825 ἀσπιδηστρόφος F, ἀσπιδοστρόφος T: corr. Blomf.[10], fort. intervenerat gl. στρατός λόχος Bourdelot 826 post 827 Schütz[6], post 828 Hartung 828 ἄδην F: ἄδδην T: corr. A. Y. Campbell[4] 830 ἃ δ' Paley[3] κλύων τ: corr. Wil.[19] 831 ταῦτα τ: corr. Casaub.[1] ξυν- Schütz[2]: συν- τ 833 φθόνων F: φθόνου T: ψόγου Stob. (sed in capitulo περὶ φθόνου)

δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος
835 ἄχθος διπλοΐζει τῶι πεπαμένωι νόσον·
τοῖς τ' αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται,
καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν στένει.
εἰδὼς λέγοιμ' ἄν· εὖ γὰρ ἐξεπίσταμαι
ὁμιλίας κάτοπτρον· εἴδωλον σκιᾶς,
840 δοκοῦντας εἶναι κάρτα πρευμενεῖς ἐμοί.
μόνος δ' Ὀδυσσεύς, ὅσπερ οὐχ ἑκὼν ἔπλει,
ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειραφόρος,
εἴτ' οὖν θανόντος εἴτε καὶ ζῶντος πέρι
λέγω. τὰ δ' ἄλλα πρὸς πόλιν τε καὶ θεοὺς
845 κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει
βουλευσόμεσθα. καὶ τὸ μὲν καλῶς ἔχον
ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον·
ὅτωι δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
ἤτοι κέαντες ἢ τεμόντες εὐφρόνως
850 πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου.
νῦν δ' εἰς μέλαθρα καὶ δόμους ἐφέστιος
ἐλθὼν θεοῖσι πρῶτα δεξιώσομαι,
οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν.
νίκη δ', ἐπείπερ ἕσπετ', ἐμπέδως μένοι.
855 ΚΛ. ἄνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους
λέξαι πρὸς ὑμᾶς· ἐν χρόνωι δ' ἀποφθίνει
τὸ τάρβος ἀνθρώποισιν. οὐκ ἄλλων πάρα

835 cf. Hsch. δ 1947 848 cf. Hsch. π 113

834–7 susp. Beazley 834 καρδίαι Portus[2] 835 πεπαμμένω τ (-ῳ T): corr. Porson[1] 836 αὐτοῦ Vict. 839 fort. κάτροπτον, v. praef. 848 ὅπου Naber[2] 89 850 πήματος τρέψαι νόσον τ: corr. Porson[6] 158 (ἀποτρέψαι van Heusde) 851 ἐφέστιος Karsten (cf. Soph. Tr. 262. [Eur.] Rh. 201): ἐφεστίους τ (cf. Sept. [73]) 854 ἕσπετ' τ

μαθοῦσ' ἐμαυτῆς δύσφορον λέξω βίον
860 τοσόνδ' ὅσονπερ οὗτος ἦν ὑπ' Ἰλίωι.
τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα
ἧσθαι δόμοις ἔρημον ἔκπαγλον κακόν,
πολλὰς κλύουσαν ⟨κλ⟩ηδόνας παλιγκότους,
καὶ τὸν μὲν ἥκειν, τὸν δ' ἐπεισφέρειν κακοῦ
865 κάκιον ἄλλο πῆμα λάσκοντας δόμοις.
καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανεν
ἀνὴρ ὅδ' ὡς πρὸς οἶκον ὠχετεύετο
φάτις, τέτρηται δικτύου πλείω λέγειν·
εἰ δ' ἦν τεθνηκὼς ὡς ἐπλήθυον λόγοι,
870 τρισώματός τἂν, Γηρυὼν ὁ δεύτερος,
πολλὴν ἄνωθεν, τὴν κάτω γὰρ οὐ λέγω,
χθονὸς τρίμοιρον χλαῖναν ἐξηύχει λαβών,
ἅπαξ ἑκάστωι κατθανὼν μορφώματι.
τοιῶνδ' ἕκατι κληδόνων παλιγκότων
875 πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης.
ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ
ἐμῶν τε καὶ σῶν κύριος πιστωμάτων,
ὡς χρῆν, Ὀρέστης· μηδὲ θαυμάσηις τόδε.
880 τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος,
Στροφίος ὁ Φωκεύς, ἀμφίλεκτα πήματα
ἐμοὶ προφωνῶν, τόν θ' ὑπ' Ἰλίωι σέθεν
κίνδυνον, εἴ τε δημόθρους ἀναρχία

860 ἐπ' T 863 del. Ahrens[7] ἡδονὰς τ: corr. Aur.[3] ex 874 867 ἀνὴρ Hermann[32] 868 τέτρηται Ahrens[7]: τέτρωται τ πλείω Blaydes[4]: πλέω τ: πλέον Dind.[6] 869 ἐπλήθυνον τ: corr. Porson[1] 871 susp. Schütz[2]. cf. 875 872 λαβεῖν Paley[1] ad Supp. 174 878 πιστευμάτων Στ: corr. Spanheim 881 στρόφιος τ, sed -ίος M in Cho. 679

βουλὴν καταρρίψειεν, ὥς τε σύγγονον
885 βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον.
τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει.
ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι
πηγαὶ κατεσβήκασιν, οὐδ' ἔνι σταγών·
ἐν ὀψικοίτοις δ' ὄμμασιν βλάβας ἔχω
890 τὰς ἀμφί σοι κλαίουσα λαμπτηρουχίας
ἀτημελήτους αἰέν. ἐν δ' ὀνείρασιν
λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμην
ῥιπῆσι θωΰσσοντος, ἀμφί σοι πάθη
ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου.
895 νῦν ταῦτα πάντα τλᾶσ' ἀπενθήτωι φρενί
λέγοιμ' ἂν ἄνδρα τόνδε, τῶν σταθμῶν κύνα,
σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης
στῦλον ποδήρη, μονογενὲς τέκνον πατρί,
καὶ γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα,
900 κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος,
ὁδοιπόρωι διψῶντι πηγαῖον ῥέος·
τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.
τοιοῖσδέ τοί νιν ἀξιῶ προσφθέγγμασιν,
φθόνος δ' ἀπέστω· πολλὰ γὰρ τὰ πρὶν κακά
905 ἠνειχόμεσθα. νῦν δέ μοι φίλον κάρα
ἔκβαιν' ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθείς
τὸν σὸν πόδ' ὦναξ Ἰλίου πορθήτορα.

901 Sud. π 1721

---

884 κακὴν ῥάψειεν Schoemann[2] 33/178 (καταρράψειεν Scal.[2]), poterat et κακὴν ῥίψειεν: cf. ad Sept. 315 ὥστε τ (ς supra τ), divisit Klotz 19 (cf. Denniston[2]): ὥς τι Hartung 888 κατεσβήκασιν F (θ supra τ) 889 κλάβασ F 893 ῥιπαῖσι τ 898 στύλον T: στόλον F 902 susp. Blomf.[10] 903 τοίνυν τ: corr. Schütz[2] προσφθέγμασιν F, προσφέγμασιν T: v. praef. 905 fort. ἀνειχ-, cf. Cho. 747 δ'ἐμοὶ τ: corr. Bothe[1] 907 ἄναξ F πορθήτορος Valckenaer[1] ad Pho. 854 et 1518

δμωιαί, τί μέλλεθ', αἷς ἐπέσταλται τέλος
πέδον κελεύθου στορνύναι πετάσμασιν;
910 εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος,
εἰς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται Δίκη.
τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνωι νικωμένη
θήσει δικαίως ξὺν θεοῖς †εἱμαρμένα†.
ΑΓ. Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ,
915 ἀπουσίαι μὲν εἶπας εἰκότως ἐμῆι·
μακρὰν γὰρ ἐξέτεινας· ἀλλ' ἐναισίμως
αἰνεῖν, παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας.
καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμέ
ἅβρυνε, μηδὲ βαρβάρου φωτὸς δίκην
920 χαμαιπετὲς βόαμα προσχάνηις ἐμοί,
μηδ' εἵμασι στρώσασ' ἐπίφθονον πόρον
τίθει· θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών·
ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν
βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου·
925 λέγω κατ' ἄνδρα, μὴ θεόν, σέβειν ἐμέ.
χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων
κληδὼν ἀϋτεῖ· καὶ τὸ μὴ κακῶς φρονεῖν
θεοῦ μέγιστον δῶρον. ὀλβίσαι δὲ χρή
βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίληι·
930 εἰ πάντα δ' ὡς πράσσοιμ' ἄν, εὐθαρσὴς ἐγώ.

922 cf. Hsch. τ 895 923 Et. G. Gud. s. κάλλαια = M. 486.48, et concise Sud. κ 191.207

---

908 τέλος F: τάδε T 909 στρωννύναι τ: corr. Elmsley[5] ad Med. 1209 sq. 913 σὺν τ: corr. Schütz[2] εἰργασμένα Karsten: (θεοῖσιν) ἅρμενα Meineke[3] 202 917 χρὴ Στ: χρῆν Blaydes[2] 920 βόημα TF[ss] 923 δὲ] γὰρ Et. Magn., Gud. v. l. 924 φθόνου (939.947) Paley[3]: ψόγου (937) Naber[2] 90 930 εἶπον τάδ' ὡς Weil[2]: εἶπον, τάδ' οὐ Mazon cl. Supp. 398 πράσσοιμεν Dind.[4] 'si semper tali fortuna uti potero quali nunc, tum demum sine metu (924) agam'

ΚΛ. καὶ μὴν τόδ' εἰπὲ μὴ παρὰ γνώμην ἐμοί.
ΑΓ. γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ' ἐμέ.
ΚΛ. ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε;
ΑΓ. εἴπέρ τις, εἰδώς γ' εὖ τόδ' ἐξεῖπον τέλος.
935 ΚΛ. τί δ' ἂν δοκεῖ σοι Πρίαμος, εἰ τάδ' ἤνυσεν;
ΑΓ. ἐν ποικίλοις ἂν κάρτά μοι βῆναι δοκεῖ.
ΚΛ. μή νυν τὸν ἀνθρώπειον αἰδεσθῇς ψόγον.
ΑΓ. φήμη γε μέντοι δημόθρους μέγα σθένει.
ΚΛ. ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.
940 ΑΓ. οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης.
ΚΛ. τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει.
ΑΓ. ἦ καὶ σὺ νίκην τῆσδε δήριος τίεις;
ΚΛ. πιθοῦ· κρατεῖς μέντοι παρείς γ' ἑκὼν ἐμοί.
ΑΓ. ἀλλ' εἰ δοκεῖ σοὶ ταῦθ', ὑπαί τις ἀρβύλας
945 λύοι τάχος, πρόδουλον ἔμβασιν ποδός·
καὶ τοῖσδέ μ' ἐμβαίνονθ' ἁλουργέσιν θεῶν
μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος.
πολλὴ γὰρ αἰδὼς δωματοφθορεῖν ποσίν
φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφάς.

932 φθαρέντ' Σ_T F^{a} 933–4 versus obscuri; cf. 963 sq. 933 ἔρξειν Headlam[12] 440 n. 26 934 εἴπέρ τις εἰδώς γ' ... ἐξεῖπεν Aur.[3] 935 δοκῇ *τ*: corr. Stanley[1] ἤνυσεν *τ* 936 δοκῇ T^{ss} F^{a} 937 μή νυν T^{σ}: μὴ νῦν T^{t}F τιν' Keck[2] αἰδεσθεὶς F 939 οὐδ' Platt[2] 61 942 τῆσδε Aur.[3]: τήνδε *τ* 943 κρατεῖς ... παρείς γ' Weil[2] (sine γ' Keck[2]; παρείς iam Bothe[1]), cf. Soph. Ai. 1353. Trag. adesp. 40: κράτος ... πάρες γ' *τ*: κράτος μὲν σοί, πάρες δ' Badham[2] viii (item cum σοῦ Heyse, cum σόν Blaydes[2] praeeunte Enger[3] 378): πιθοῦ – κράτος μέντοι (vel μὲν σοὶ) πάρεσθ' – ἑκὼν West[2] 97 946 καὶ F: σὺν T ἁλουργέσιν πέπλοις Wecklein[13], θεῶν ad φθόνος suprascriptum esse ratus 948 σωματοφθορεῖν *τ*: corr. Schütz[2] πόσιν *τ*: corr. Scal. 949 τρύχοντα Keck[2] cl. Hsch. τρύχειν· φθείρειν

950 τούτων μὲν οὕτω· τὴν ξένην δὲ πρευμενῶς
τήνδ' εἰσκόμιζε· τὸν κρατοῦντα μαλθακῶς
θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται.
ἑκὼν γὰρ οὐδεὶς δουλίωι χρῆται ζυγῶι·
αὕτη δέ, πολλῶν χρημάτων ἐξαίρετον
955 ἄνθος, στρατοῦ δώρημ' ἐμοὶ ξυνέσπετο.
ἐπεὶ δ' ἀκούειν σοῦ κατέστραμμαι τάδε,
εἶμ' εἰς δόμων μέλαθρα πορφύρας πατῶν.
ΚΛ. ἔστιν θάλασσα – τίς δέ νιν κατασβέσει; –
τρέφουσα πολλῆς πορφύρας ἰσάργυρον
960 κηκῖδα παγκαίνιστον, εἱμάτων βαφάς·
ἄκος δ' ὑπάρχει τῶνδε σὺν θεοῖς, ἄναξ,
ἔχειν· πένεσθαι δ' οὐκ ἐπίσταται δόμος.
πολλῶν πατησμὸν δ' εἱμάτων ἂν ηὐξάμην,
δόμοισι προυνεχθέντος ἐν χρηστηρίοις,
965 ψυχῆς κόμιστρα τῆσδε μηχανωμένη.
ῥίζης γὰρ οὔσης φυλλὰς ἵκετ' εἰς δόμους
σκιὰν ὑπερτείνασα Σειρίου Κυνός·
καὶ σοῦ μολόντος δωματῖτιν ἑστίαν,
θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολών,
970 ὅταν δὲ τεύχηι Ζεὺς {τ'} ἀπ' ὄμφακος πικρᾶς
οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει
ἀνδρὸς τελείου δῶμ' ἐπιστρωφωμένου.

951 τῆνδε κοίμιζε F[a] 954 αὐτὴ τ: corr. Bourdelot 956 κατέστραμμαι T[σγρ] F: κατέσταμαι T[t] 957 δόμο[ων]ῦσ, F 959 πολλὴν Blaydes[4] εἰς ἄργυρον τ: corr. Salmasius 593: ἰσαργύρου Schütz[6] 960 κηλῖδα F[a] 961 ἄκος West[7]: οἶκος τ: οἴκοις Porson[1]: οἴκοι Headlam[6] 247: ὄλβος Wecklein[3] 129 ἐπαρκεῖ Stanley[2] 963 δειμάτων τ: expl. Aur.[3], Canter εὐξάμην τ: corr. Heath 965 μηχανωμένη Scal.[2]: -μένης τ: -μένηι Abresch I 358 969 σημαίνει Karsten μολόν Voss (cf. 293), at hieme calor non 'advenit' sed in foco quaeritur 970 τ' del. Scal.[2] 972 ἐπιστροφ- T: ἐπιστρεφ- F: corr. Vict.

Ζεῦ Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει·
μέλοι δέ τοί σοι τῶνπερ ἂν μέλλῃς τελεῖν.

975 ΧΟ. τίπτε μοι τόδ' ἐμπέδως — str. 1
δεῖμα προστατήριον
καρδίας τερασκόπου ποτᾶται,
μαντιπολεῖ δ' ἀκέλευστος ἄμισθος ἀοιδά,
980 οὐδ' ἀποπτύσαι δίκαν
δυσκρίτων ὀνειράτων
θάρσος εὐπειθὲς ἵ-
ζει φρενὸς φίλον θρόνον;
χρόνος δ' ἐπεὶ πρυμνησίων ξὺν ἐμβολαῖς
985 †ψαμμίας ἀκάτα† παρή-
βησεν, εὖθ' ὑπ' Ἴλιον
ὦρτο ναυβάτας στρατός·

πεύθομαι δ' ἀπ' ὀμμάτων — ant. 1
νόστον αὐτόμαρτυς ὤν·
990 τὸν δ' ἄνευ λύρας ὅμως ὑμνῳδεῖ

973 cf. Hsch. τ 403 989 (αὐτόμ.) Phot. α 3232, cf. Hsch. (Cyr.) α 8435

974 μέλοι T et Triclinii sch. metr. in TF ad 810: μέλῃ (οι) F τοι σοι T et sch. metr. in eodem: σοι τοι sch. metr. in F: σοι F μέλλῃ τελεῖν Haase, cf. Cho. 780 976 δεῖγμα F 977 πωτᾶται Meineke⁰ ποτᾶτ' ἄμισθος ἀοιδά. μαντιπολεῖ δ'ἀκέλευστος T 978 ἀκέλευτος? 980 ἀποπτύσας F: -σαν Aur.[3], Portus[1] 982 εὐπιθὲσ τ: corr. Jacob (εὐπιθὲς θάρσος scribi posse monet Johansen[5] ad Supp. 623) ἵξει T, ἵξει F: corr. Scal.[2], Casaub.[1] 984 ἐπὶ T ξὺν ἐμβολαῖς Casaub.[2]: ξυνεμβόλοις τ 985 ἀκάτας T ψάμμος (Wecklein[3] 123) ἄμπτα Wil.[5] παρήβησ' T: fort. παρήβασεν 986 sq. εὖτε ναυβάτας ὦρθ' ὑπ' Ἰ. Keck[2] 990 ὅπως τ: corr. Casaub.[1]

θρῆνον Ἐρινύ⟨ο⟩ς αὐτοδίδακτος ἔσωθεν
θυμός, οὐ τὸ πᾶν ἔχων
ἐλπίδος φίλον θράσος.
995 σπλάγχνα δ' οὔτοι ματάι-
ζει, πρὸς ἐνδίκοις φρεσίν
τελεσφόροις δίναις κυκλούμενον κέαρ.
εὔχομαι δ' ἐξ ἐμᾶς
ἐλπίδος ψύθη πεσεῖν
1000 εἰς τὸ μὴ τελεσφόρον.

μάλα γέ τοι †τᾶς πολλᾶς — str. 2
ὑγιείας ἀκόρεστον†
⟨⏑ ⏑⟩ τέρμα· νόσος {γὰρ}
γείτων ὁμότοιχος ἐρείδει·
1005 καὶ πότμος εὐθυπορῶν
ἀνδρὸς ⟨⏑ – ⏑ ⏑ –
– ⏑⟩ ἔπαισεν ἄφαντον ἕρμα.
καὶ τὸ μὲν πρὸ χρημάτων
κτησίων ὄκνος βαλών
1010 σφενδόνας ἀπ' εὐμέτρου,

991 ἐριννὺσ τ: corr. Porson[1] ('Εριννύος), Blomf.[10] 995 ματάζει τ: corr. Hermann[32] 996 ἐκδίκοις Karsten 997 κυκώμενον Headlam[4] 308: κυκλουμένου Salzmann 998 ⟨τά⟩δ' Aur.[3] ἀπ'ἐμᾶς τοι T 999 ψύδη τ: corr. Steph. 1001 sq. γέ (ss. γὰρ) τοι δὴ T: γάρ τοι F τᾶς πολλᾶς ὑγιείας glossema u. v. (frustra ὑγιέας Ahrens[7], ὑγιίας Hermann[32]). Aeschylus scribere potuit e. g. ταχὺ πέλει λιπαρίας ἀκορέστου ⟨ποτὲ⟩ τέρμα (ἀκορέστου Heyse, ἀκορέτου iam Weil[2]) 1003 γὰρ del. West[7] 1005–7 desunt syllabae septem vel ante καὶ (Klausen) vel post εὐθυπορῶν (Heath) vel post ἀνδρὸς (Bamberger[1] 50) vel post ἔπαισεν (Porson[1]: ἔπαισεν ⟨ἄφνω δυστυχίας πρὸς⟩ ἄφαντον Ahrens[8] 601) ἔπαισ' ἐς Rauchenstein[4] 174 praeeunte Blomf.[10] 1008 πρὸ μέν τι Enger[4] 1009 ὄγκον Schütz[2]: ὄκνωι Ludwig[0]

οὐκ ἔδυ πρόπας δόμος
π⟨λ⟩η⟨σ⟩μονᾶς γέμων ἄγαν,
οὐδ' ἐπόντισε σκάφος·
πολλά τοι δόσις ἐκ Διὸς ἀμφιλα-
1015 φής τε καὶ ἐξ ἀλόκων ἐπετειᾶν
νῆστιν ὤλεσεν νόσον·

τὸ δ' ἐπὶ γᾶν πεσὸν ἅπαξ ant. 2
θανάσιμον πρόπαρ ἀνδρός
1020 μέλαν αἷμα τίς ἂν
πάλιν ἀγκαλέσαιτ' ἐπαείδων;
οὐδὲ τὸν ὀρθοδαῆ
τῶν φθιμένων ἀνάγειν
Ζεὺς κατένευσεν ἐπ' ἀβλαβείαι.
1025 εἰ δὲ μὴ τεταγμένα
μοῖρα μοῖραν ἐκ θεῶν
εἶργε μὴ πλέον φέρειν,
προφθάσασα καρδία
γλῶσσαν ἂν τάδ' ἐξέχει·
1030 νῦν δ' ὑπὸ σκότωι βρέμει
θυμαλγής τε καὶ οὐδὲν ἐπελπομέ-
να ποτὲ καίριον ἐκτολυπεύσειν
ζωπυρουμένας φρενός.

1012 πημονὰς τ (-ᾶς Vict.): corr. Schütz[2], nisi rectius πλημονᾶς Wil.[14] **1014** ἐκ om. T λιὸσ F **1016** κἀξ F ἐπέτειος Rogers 51 **1017** ἤλασεν Schütz[6] **1018** πεσόνθ' τ: corr. Portus[1] **1019** θανασίμου Aur.[3] προπάροιθ' T **1020** sq. τίς τ' ἀγκαλ- T **1022** εὖτε Weil[2] **1023** τοὺς φθιμένους Schütz[2] **1024** κατένευσεν West[7]: αὔτ'ἔπαυσ' τ: ἂν ἔπαυσεν Martin[1] 6: ἀπέπαυσεν Hartung: κατέπαυσεν Wecklein[3] 124 αὐλαβεία F: ἀβλαβείᾳ γε T **1030** βλέπει F[a] **1031** θυμαλγής τε καὶ οὐδὲν ἐπ om. T

1035 ΚΛ. εἴσω κομίζου καὶ σύ, Κασ⟨σ⟩άνδραν λέγω,
ἐπεί σ' ἔθηκε Ζεὺς ἀμηνίτως δόμοις
κοινωνὸν εἶναι χερνίβων, πολλῶν μετὰ
δούλων σταθεῖσαν κτησίου βωμοῦ πέλας.
ἔκβαιν' ἀπήνης τῆσδε, μηδ' ὑπερφρόνει·
1040 καὶ παῖδα γάρ τοί φασιν Ἀλκμήνης ποτὲ
πραθέντα τλῆναι δουλίας μάζης θιγεῖν.
εἰ δ' οὖν ἀνάγκη τῆσδ' ἐπιρρέποι τύχης,
ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις·
οἳ δ' οὔποτ' ἐλπίσαντες ἤμησαν καλῶς,
1045 ὠμοί τε δούλοις ⟨. . . . .
1045a . . . . .⟩ πάντα, καὶ παρὰ στάθμην
ἔχεις παρ' ἡμῶν οἷάπερ νομίζεται.
ΧΟ. σοί τοι λέγουσα παύεται σαφῆ λόγον.
ἐντὸς δ' ἁλοῦσα μορσίμων ἀγρευμάτων
πείθοι' ἄν, εἰ πείθοι'· ἀπειθοίης δ' ἴσως.
1050 ΚΛ. ἀλλ' εἴπερ ἐστὶ μὴ χελιδόνος δίκην
ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη,
εἴσω φρενῶν λέγουσα πείθω νιν λόγωι.
ΧΟ. ἕπου· τὰ λῶιστα τῶν παρεστώτων λέγει·
πείθου λιποῦσα τόνδ' ἁμαξήρη θρόνον.

1050 (χελ. δίκην) Hsch. χ 325

1035 κασάνδραν *τ* ut solet: corr. Pauw 1037 μέτα *τ* 1041 δουλείασ μάζης βία F: καὶ ζυγῶν θίγειν βίᾳ T: corr. Keck[2]. scilicet traditum erat δουλίας μάζης θιγεῖν βίαι, quod emendabat Triclinius primum θιγεῖν expungendo (in *τ*), postea ζυγῶν scribendo (ex 953) pro δ. μ. 1042 τῆιδ' Blaydes[2] ἐπιρρέπει T **1044** οἵδ' *τ*: dist. Vict. 1045 lac. post δούλοις (vel πάντα) stat. West[7], post στάθμην Thiersch[0] παραστάθμων F 1046 ἕξεις Aur.[3]: fort. κἂν π. στ. ἔχοις 1048 ἂν οὖσα *τ*: corr. Haupt 1052 εἴσω Blomf.[10] 329 duce Elmsleio: ἔσω *τ* 1054 πιθοῦ Blomf.[10] cf. ad Supp. 527. Ag. 206

1055 ΚΛ. οὔτοι θυραίαν †τήνδ'† ἐμοὶ σχολὴ πάρα
τρίβειν· τὰ μὲν γὰρ ἑστίας μεσομφάλου
ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πάρος,
⟨. . . . .⟩
ὡς οὔποτ' ἐλπίσασι τήνδ' ἕξειν χάριν.
σὺ δ' εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει·
1060 εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχηι λόγον,
σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνωι χερί.
ΧΟ. ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ
δεῖσθαι· τρόπος δὲ θηρὸς ὡς νεαιρέτου.
ΚΛ. ἦ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν,
1065 ἥτις λιποῦσα μὲν πόλιν νεαίρετον
ἥκει, χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν
πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος.
οὐ μὴν πλέω ῥίψασ' ἀτιμασθήσομαι.

ΧΟ. ἐγὼ δ', ἐποικτίρω γάρ, οὐ θυμώσομαι.
1070 ἴθ' ὦ τάλαινα· τόνδ' ἐρημώσασ' ὄχον,
ε⟨ἴ⟩κουσ' ἀνάγκηι τῆιδε, καίνισον ζυγόν.

ΚΑΣ⟨Σ⟩ΑΝΔΡΑ
ὀτοτοτοτοῖ ποποῖ δᾶ· str. 1
ὦπολλον ὦπολλον.

1055 θυραίαι Casaub.[1] τῆιδ' Musgrave: δῆτ' Margoliouth[2]: exspectaverim ὧδ' 1057 πάρος Musgrave: πυρός τ lac. stat. Maas[6] 1061 σὺ δ' (1059)] ἀλλ' Meineke[3] 206 1063 νεαγρέτου Meineke l.c. (nol. Blomf.[10] ad 124) 1064 ἢ F τε Hermann[32] φρενῶν κλύει F[a] **1067 denuo accedit M** 1068 μὴ M[as] 1069 ἐποικτείρω *Ω*: corr. Kirchhoff[1] 1070 ὄχ⟦λ⟧ον M 1071 εἴκουσ' Rob$_{δ}$: ἑκοῦσ' *Ω*, quo servato ἀνάγκης τῆσδε Casaub.[1] 1072 κασάν M ὀτοτοτοῖ (-τοὶ F) πομποῖ δᾶ τ (item 1076) 1073 et 1077 ὤπολλον ὤπολλον M: ἄπολλον ἄπολλον τ: Ἀπόλλων Ἀπόλλων Bothe[2]

ΧΟ. τί ταῦτ' ἀνωτότυξας ἀμφὶ Λοξίου;
1075 οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν.

ΚΑ. ὀτοτοτοτοῖ ποποῖ δᾶ· ant. 1
ὦπολλον ὦπολλον.
ΧΟ. ἥδ' αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ,
οὐδὲν προσήκοντ' ἐν γόοις παραστατεῖν.

1080 ΚΑ. Ἄπολλον· Ἄπολλον· str. 2
ἀγυιᾶτ', ἀπόλλων ἐμός·
ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον.
ΧΟ. χρήσειν ἔοικεν ἀμφὶ τῶν αὑτῆς κακῶν·
μένει τὸ θεῖον δουλίαι περ ἐν φρενί.

1085 ΚΑ. Ἄπολλον· Ἄπολλον· ant. 2
ἀγυιᾶτ', ἀπόλλων ἐμός·
ἆ ποῖ ποτ' ἤγαγές με; πρὸς ποίαν στέγην;
ΧΟ. πρὸς τὴν Ἀτρειδῶν· εἰ σὺ μὴ τόδ' ἐννοεῖς,
ἐγὼ λέγω σοι, καὶ τάδ' οὐκ ἐρεῖς ψύθη.

1090 ΚΑ. {ἆ ἆ·} μισόθεον μὲν οὖν, πολλὰ συνίστορα str. 3
αὐτοφόνα κακὰ †κἀρτάναι†
ἀνδροσφαγεῖον καὶ †πεδορραντήριον†.

1074–5 sch. Eur. Ph. 1028

1074 fort. τοῦτ', cf. 1308 ἀνωλόλυξας sch. Eur. 1078 ἥδ' τ: ἡδ' M 1080 et 1085 Ἀπόλλων Ἀπόλλων Hermann[32] 1081 ἀγυιεῦ F[a] 1083 αὐτῆς *Ω*: corr. Turn. 1084 περ ἐν Schütz[2]: παρ'ἒν M: παρὲν F: παρὸν T 1088 εἶ σὺ· τὸ, μὴ δ' F: εἶ. τό περ μὴ δ' T 1089 κἄτα δ' τ ψύδη T 1090 ἀ ἆ M: om. τ. cf. 1125 ξυνίστορα M 1091 αὐτοφόνα M[s] τ: αὐτόφονα M[a] κἀρτάναι F, καρτάναι M, cf. Σ ἀντὶ τοῦ ἀγχόνηι: κἀρτάνασ T: κρεατόμα Weil[2]: καρατόμα Kayser 1092 ἀνδρὸς σφάγιον M[s] τ (σφαγ..ον M[a], σφάγιόν τε T): corr. Casaub.[1] (ἀνδροσφάγιον), Dobree[3] 25/21 πεδορραντήριον M[a]: πέδον ῥαντήριον M[c] τ: possis πελανορραντήριον

ΧΟ. ἔοικεν εὖρις ἡ ξένη κυνὸς δίκην
εἶναι· ματεύει δ' ὧν ἀνευρήσει φόνον.

1095 ΚΑ. μαρτυρίοισ⟨ι⟩ γὰρ τοῖσδ' ἐπιπείθομαι· ant. 3
κλαιόμενα τάδε βρέφη σφαγάς,
ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας.
ΧΟ. καὶ μὴν κλέος σου μαντικὸν πεπυσμένοι
ἦμεν· προφήτας δ' οὔτινας μαστεύομεν.

1100 ΚΑ. ἰὼ ποποῖ, τί ποτε μήδεται; str. 4
τί τόδε νέον ἄχος; μέγα,
μέγ' ἐν δόμοισι τοῖσδε μήδεται κακόν,
ἄφερτον φίλοισιν, δυσίατον· ἀλκὰ δ'
ἑκὰς ἀποστατεῖ.
1105 ΧΟ. τούτων ἄϊδρίς εἰμι τῶν μαντευμάτων,
ἐκεῖνα δ' ἔγνων· πᾶσα γὰρ πόλις βοᾶι.

ΚΑ. ἰὼ τάλαινα, τόδε γὰρ τελεῖς; ant. 4
τὸν ὁμοδέμνιον πόσιν
λουτροῖσι φαιδρύνασα – πῶς φράσω τέλος;

1103 cf. ad 467 1105 Phot. α 545

1093 εὐρισ τ: εὐρισ M[c]: εὐροσ[.] M[a]: corr. Porson[1] 1094 μαντεύει M: ματεύειν Turn. ἀνευρήσει anon.[3] (ἂν ἀνευρήσει Turn. fort. idem volens): ἂν εὑρήσῃ M: ἐφευρήσει τ 1095 **denuo accedit G** μαρτυρίοισι Pauw: -οισ Ω γὰρ M: μὲν γὰρ τ: γὰρ οὖν Abresch I 371: μὲν Dawe[1] 185 τοῖσδε πεπείθομαι Ω: corr. Abresch l.c. 1096 τάδε M[s], ταδὲ M[a]: τὰ τ 1098 καὶ μὴν Paley[3]: ἦμην M, ss. ἠμεν: ἦμεν τ: τὸ μὲν Headlam[6] 247 πεπυσμένοι M[s]τ: -μένο⟦ν⟧ M[a] 1099 ματεύομεν Schütz[2] 1100 ἰὼ ἰὼ (et in 1107) Blomf.[10], cf. Prom. 576 ποποῖ M[a]: πόποι M[s]τ 1101 ἄχθοσ ss. ἄχοσ M μέγα del. Enger[10] 358, cf. ad 1108 1103 φίλοισι MGF: corr. T ἀλκὰν GF 1106 βοᾶ πόλις (vitium Byzantinum) τ 1108 πόσιν del. Enger, cf. ad 1101 1109 fort. rectius φαιδύνασα, cf. praef.

1110 τάχος γὰρ τόδ' ἔσται· προτείνει δὲ χεὶρ ἐκ
χερὸς ὀρεγομένα.
ΧΟ. οὔπω ξυνῆκα· νῦν γὰρ ἐξ αἰνιγμάτων
ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ.

ΚΑ. ἒ ἔ παπαῖ παπαῖ, τί τόδε φαίνεται; str. 5
1115 ἦ δίκτυόν τί γ' Ἅιδου;
ἀλλ' ἄρκυς ἡ ξύνευνος, ἡ ξυναιτία
φόνου. στάσις δ' ἀκόρετος γένει
κατολολυξάτω θύματος λευσίμου.
ΧΟ. ποίαν Ἐρινὺν τήνδε δώμασιν κέλῃ
1120 ἐπορθιάζειν; οὔ με φαιδρύνει λόγος·
ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς
σταγών, ἅτε καὶ δορὶ πτωσίμο⟨ι⟩ς
ξυνανύτει βίου
δύντος αὐγαῖς, ταχεῖα δ' ἄτα πέλει.

1125 ΚΑ. ἆ ἆ ἴδου, ἴδου· ἄπεχε τᾶς βοός ant. 5
τὸν ταῦρον· ἐν πέπλοισιν
μελαγκέρωι λαβοῦσα μηχανήματι
τύπτει· πίτνει δ' ⟨ἐν⟩ ἐνύδρωι τεύχει.

1110 δὲ] γὰρ G χεῖρ' M[c] 1111 χειρὸς M ὀρεγομένᾱ M[c] (-όμενα M[a]): ὀρεγμένα *τ*: ὀρέγματα Hermann[13] 17 (cf. Cho. 426), quod non satis fulcit Σ διαδέχονται δὲ ἀλλήλους τοῖς ὀρέγμασι τῶν χειρῶν Αἴγισθος καὶ Κλυταιμήστρα 1113 ἀμνημονῶ G 1115 ἢ *τ* γ' del. Dind.[1] xxxii 1117 ἀκόρεστος *Ω*: corr. Hermann[1] 434 1122 δορία (δωρία *τ*) πτώσιμος *Ω*: corr. Casaub.[1], anon.[3] 1123 ξυνανυτεῖ *Ω* (-τὶ M[a]): corr. Porson[1] 1125 ἰδοὺ ἰδού *Ω* τῆς *Ω*: corr. Emperius[1] 631 1127 μελαγκέρωι Σ[γρ], μελάγκέρωι M[c] (ι ex ν): μελαγκέρων Σ M[ss] *τ* (proparox. T) λαθοῦσα Σ$_{M}$ (casu u.v.) 1128 πιτνεῖ *τ* ⟨ἐν⟩ Schütz[6] κύτει Blomf.[10]

δολοφόνου λέβητος τύχαν σοι λέγω.
1130 ΧΟ. οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος
εἶναι, κακῶι δέ τωι προσεικάζω τάδε.
ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις
βροτοῖς τέλλεται; κακῶν γὰρ διαὶ
πολυεπεῖς τέχναι
1135 θεσπιωιδοὶ φόβον φέρουσιν μαθεῖν.

ΚΑ. ἰὼ ἰὼ ταλαίνας κακόποτμοι τύχαι· str. 6
τὸ γὰρ ἐμὸν θροῶ πάθος ἐπεγχύδαν.
ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες;
οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην, τί γάρ;
1140 ΧΟ. φρενομανής τις εἶ, θεοφόρητος, ἀμ-
φὶ δ' αὑτᾶς θροεῖς
νόμον ἄνομον, οἷά τις ξουθὰ
ἀκόρετος βοᾶς, φεῦ, φιλοίκτοις φρεσὶν
Ἴτυν Ἴτυν στένουσ' ἀμφιθαλῆ κακοῖς
1145 ἀηδὼν βίον.

1129 δολοφόνον Lawson[1] τέχναν Weil[2] 1130 ἄκρος Σ M[c] τ: ἄκρωσ M[a] 1133 βροτοῖοι GF τέλλεται Emperius[0]: στέλλεται Ω διὰ M: δὴ αἱ τ: corr. Hermann[17] 1135 θεσπιωιδοὶ Hermann[17], [18]265: -δὸν Ω: -δῶν Portus[1] φέρουσι MGF: corr. T 1137 ἐπεγχύδαν Headlam[6] 247: ἐπεγχέασα M (cf. Σ): ἐπαγχέασα τ cf. ad 1148 1138 (cf. 1087) τί δὴ Heimsoeth[1] 224 ἤγαγεν Hermann[32] 1139 οὐδέποτ' GF, οὐ δή ποτ' T 1141 αὐτᾶσ M[s] ex -ὰσ 1142 οἷά GT: οἷα M: οἵά F 1143 ἀκόρεστος Ω: corr. Asul. βοᾷς GF: βοᾶις M: βορᾶς T φεῦ om. T φιλοίκτοις Dobree[3] 25/21: φιλοίκτοις ταλαίναις GF: φιλοίκτοισι T: ταλαίναισ M (-νᾶσ M[s]): εὐφιλοίκτοις pro φεῦ φ. Keck[2] 1144 ἀμφιλαφῆ Burges[8] 74 1145 ἀηδὼν μόρον et mox βίος ἀηδόνος Page[1]

ΚΑ. ἰὼ ἰὼ λιγείας μόρος ἀηδόνος· — ant. 6
περέβαλον γάρ οἱ πτεροφόρον δέμας
θεοὶ γλυκύν τ' αἰῶνα κλαυμάτων ἄτερ·
ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορί.
1150 ΧΟ. πόθεν ἐπισσύτους θεοφόρους {τ'} ἔχεις
ματαίους δύας,
τὰ δ' ἐπίφοβα δυσφάτωι κλαγγᾶι
μελοτυπεῖς ὁμοῦ τ' ὀρθίοις ἐν νόμοις;
πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ
1155 κακορρήμονας;

ΚΑ. ἰὼ γάμοι γάμοι Πάριδος — str. 7
ὀλέθριοι φίλων·
ἰὼ Σκαμάνδρου πάτριον ποτόν·
τότε μὲν ἀμφὶ σὰς ἀϊόνας τάλαιν'
ἠνυτόμαν τροφαῖς·
1160 νῦν δ' ἀμφὶ Κωκυτόν τε κ'Ἀχερουσίους
ὄχθους ἔοικα θεσπιωιδήσειν τάχα.
ΧΟ. τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω;
νεογνὸς ἂν ἀϊὼν μάθοι·
πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίωι,

1146 μόρον ἀηδόνος Hermann[1] 434: ἀηδόνος μόρον *Ω* (μόρος Pauw): ἀηδοῦς μόρον Dobree[1] 653 1147 περέβαλον Wieseler[0] (περίβαλον iam Hermann l.c.): περεβάλοντο M: περιβαλόντες *τ* 1148 αἰῶνα M[γρ]: ἀγῶνα M *τ*: δέμας θεοί | γλυκύν τ' ἄγ⟨ειν αἰ⟩ῶνα nescioquis ap. Emperium[1] 632 1150 τ' del. Hermann[32] 1152 ἐπὶφοβα M[a], ἐπιφόβωι M[c]: ἐπὶφόβα[ω] G: ἐπίφόβα[ω] TF 1153 ἄμουσ' Burges[8] 74 1154 ἔχη GF[1], ἔχει F[a] 1159 ἠνυτόμαν Σ*Ω* τροφάς Margoliouth[2] ἠρυτόμαν τροφάς vel τροφᾶς West[2] 97 post h. v. deficit M usque ad Cho. 10 1161 ὄχθας anon.[1], Casaub.[1] 1163 ἂν ἀΐων Karsten (ἀϊὼν West): ἀνθρώπων (= ἀνων) *τ* 1164 πέπλημαι T ὑπαὶ T: ὑπὸ GF: ἅπερ Franz δάκει Hermann[32]

1165 δυσαλγεῖ τύχαι μινυρὰ {κακὰ} θρεομένας,
θραύματ' ἐμοὶ κλυεῖν.

ΚΑ. ἰὼ πόνοι πόνοι πόλεος ant. 7
ὀλομένας τὸ πᾶν·
ἰὼ πρόπυργοι θυσίαι πατρός
πολυκανεῖς βοτῶν ποιονόμων· ἄκος δ'
1170 οὐδὲν ἐπήρκεσαν
τὸ μὴ πόλιν μὲν ὥσπερ οὖν ἐχρῆν παθεῖν,
ἐγὼ δὲ θερμόνους τάχ' Ἐμπέδωι βαλῶ.
ΧΟ. ἑπόμενα προτέροισ⟨ι⟩ τάδ' ἐφημίσω,
καί τίς σε κακοφρονεῖν τίθη-
1175 σι δαίμων ὑπερβαρὴς ἐμπίτνων,
μελίζειν πάθη γοερὰ θανατοφόρα·
τέρμα δ' ἀμηχανῶ.

ΚΑ. καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων
ἔσται δεδορκὼς νεογάμου νύμφης δίκην,
1180 λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολάς
πνέων ἐπάιξειν, ὥστε κύματος δίκην
κλύ⟨ζ⟩ειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ

1165 δυσαγγεῖ τ: corr. Aur.[3], Canter possis ψυχᾶι κακὰ del. Schütz[6], Seidler[1] 172 1166 θαύματ' T κλύειν τ 1167 πόλεως GF ὀλωμένας GF, ὀλουμένας T: corr. anon.[2] 1171 μὴ οὐ Hermann[10] 222/235 ἐχρῆν Maas[6]: ἔχειν τ (-ει T) 1172 θερμὸν ῥοῦν Musgrave ἐμπελῶ βόλωι Ahrens[8] 620 (βόλωι iam Bothe[1]): ἐμπαίσω βόλωι Weil[13] 67 ἐμπέδω τ (-ῳ T) = Ἅιδηι u.v., cf. Hippon. 146a W. = 159 Deg., Trag. adesp. 208: ἐν πέδωι Portus[1], cf. fr. 183 1173 προτέροισ τ: corr. Pauw 1174 ἦ τίς σε Karsten κακοφρονεῖν (cf. 100. 1064)] -νῶν Schütz[2] 1175 ὑπερβαρὺς ἐμπιτνῶν T 1176 θανατηφόρα T 1181 ἐπάιξειν West[7] (ἐσάιξειν Bothe[1]): ἐσήξειν τ 1182 κλύειν τ: corr. Aur.[3] ἀγὰς Ahrens[7], cf. Soph. fr. 969. Numen. Supp. Hell. 584.5: ἀκτὰς Aur.[3]

μεῖζον. φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων·
καὶ μαρτυρεῖτε ξυνδρόμως ἴχνος κακῶν
1185 ῥινηλατούσηι τῶν πάλαι πεπραγμένων.
τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορός
ξύμφθογγος οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.
καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον,
βρότειον αἷμα κῶμος ἐν δόμοις μένει,
1190 δύσπεμπτος ἔξω, ξυγγόνων Ἐρινύων·
ὑμνοῦσι δ' ὕμνον δώμασιν προσήμεναι
πρώταρχον ἄτην, ἐν μέρει δ' ἀπέπτυσαν
εὐνὰς ἀδελφοῦ τῶι πατοῦντι δυσμενεῖς.
ἥμαρτον, ἢ κυρῶ τι τοξότης τις ὥς;
1195 ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων;
ἐκμαρτύρησον προυμόσας τό μ' εἰδέναι
†λόγωι† παλαιὰς τῶνδ' ἁμαρτίας δόμων.
ΧΟ. καὶ πῶς ἂν ὅρκου πῆ⟨γ⟩μα γενναίως παγὲν
παιώνιον γένοιτο; θαυμάζω δέ σου,
1200 πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν
κυρεῖν λέγουσαν, ὥσπερ εἰ παρεστάτεις.
ΚΑ. μάντις μ' Ἀπόλλων τῶιδ' ἐπέστησεν τέλει.
1204 ΧΟ. μῶν καὶ θεός περ ἱμέρωι πεπληγμένος;
1203 ΚΑ. πρὸ τοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.

1195 cf. Hsch. φ 595 1197 (ἁμαρτ.) Phot. α 1143

1184 ξυν- Porson[1]: συν- τ 1187 ξύμφθογγος T: ξύμφογγος G: σύμφογγος F 1190 ξυγ- Schütz[2]: συγ- τ 1192 πρώταρχος GF 1194 κυρῶ Ahrens[7] (cf. 628.1201): τηρῶ τ 1196 καὶ μαρτ- (1184) T 'testare posthac (cf. 1317. Cho. 1041) iuratus me nosse antiqua scelera huius domus' τὸ μὴ anon.[1] (Rawl. G 193) 1197 non λόγωι οἶδε sed divinitus: possis ἀδόλως 1198 ὅρκου πῆγμα Aur.[2]: ὅρκος πῆμα τ 1200 πόλιν suspectum: πόριν Stadtmüller 1203 (choro tributum) ante 1204 (Cassandrae) τ: ut supra Musgrave: lacunas post 1202 et 1204 statuere maluit Weil[6] 136 sq.

1205 ΧΟ. ἁβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον.
ΚΑ. ἀλλ' ἦν παλαιστὴς κάρτ' ἐμοὶ πνέων χάριν.
ΧΟ. ἦ καὶ τέκνων εἰς ἔργον ἤλθετον νόμωι;
ΚΑ. ξυναινέσασα Λοξίαν ἐψευσάμην.
ΧΟ. ἤδη τέχνησιν ἐνθέοις ἡιρημένη;
1210 ΚΑ. ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη.
ΧΟ. πῶς δῆτ' ἄνατος ἦσθα Λοξίου κότωι;
ΚΑ. ἔπειθον οὐδέν' οὐδέν, ὡς τάδ' ἤμπλακον.
ΧΟ. ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.
ΚΑ. ἰοὺ ἰού, ὢ ὢ κακά·
1215 ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος
στροβεῖ ταράσσων φροιμίοις †ἐφημένους†.
ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους
νέους, ὀνείρων προσφερεῖς μορφώμασιν;
παῖδες θανόντες, ὡσπερεὶ πρὸς οὐ φίλων,
1220 χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς
ξὺν ἐντέροις τε σπλάγχν', ἐποίκτιστον γέμος,
πρέπουσ' ἔχοντες, ὧν πατὴρ ἐγεύσατο.
ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινά,
λέοντ' ἄναλκιν ἐν λέχει στρωφώμενον
1225 οἰκουρόν, οἴμοι, τῶι μολόντι δεσπότηι·

1216 Hsch. (Cyr.) σ 2011 στροβεῖ· ταράσσει, κινεῖ 1221 (γέμος) Hsch. γ 322

1205 βαρύνεται T 1209 τέχναισιν τ 1210 ἤδη· possis 1211 ἄνακτος τ: corr. fere Canter κότου Blomf.[10] 1212 οὐδέν' Canter: οὐδὲν τ: οὐκέτ' Aur.[3], post quod οὐδέν' melius 1215 πνόος A.Y. Campbell[2] 14 1216 ταράσσει Lawson[1] cl. Hsch. et Cho. 289 ἐφημένους (οισ ss. T) ex 1217 venit: δυσχειμέροις A.Y. Campbell l.c.: alii alia 1219 del. Gilbert[3] οὐ West[7] (cf. Supp. 718): τῶν τ 1221 ξὺν Schütz[2]: σὺν τ 1225 οἶμαι Paley[1]: ὠμὸν Blaydes[4]

{ἐμῶι· φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν.}
ναῶν τ' ἄπαρχος Ἰλίου τ' ἀναστάτης
1230 ἄτης λαθραίου τεύξεται κακῆι τύχηι·
1228 οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνός,
1229 λε⟨ί⟩ξασα κἀγκλίνασα φαιδρὸν οὖς, δάκνει.
1231 τοιάδε τόλμα⟨ν⟩ θῆλυς ἄρσενος φονεύς
ἔστιν. τί νιν καλοῦσα δυσφιλὲς δάκος
τύχοιμ' ἄν; ἀμφίσβαιναν, ἢ Σκύλλάν τινα
οἰκοῦσαν ἐν πέτρασι, ναυτίλων βλάβην,
1235 θυίουσαν Ἅιδου μητέρ' ἄσπονδόν τ' ἄρη
φίλοις πνέουσαν; ὡς δ' ἐπωλολύξατο
ἡ παντότολμος, ὥσπερ ἐν μάχης τροπῆι.
δοκεῖ δὲ χαίρειν νοστίμωι σωτηρίαι.
καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω, τί γάρ;
1240 τὸ μέλλον ἥξει· καὶ σύ μ' ἐν τάχει παρών
ἄγαν {γ'} ἀληθόμαντιν οἰκτίρας ἐρεῖς.
ΧΟ. τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν
ξυνῆκα καὶ πέφρικα, καὶ φόβος μ' ἔχει
κλυόντ' ἀληθῶς οὐδὲν ἐξεικασμένα·

1226 del. Ludwig[0] δούλειον T 1227 νεῶν τ; v. praef. δ' anon.[1] ἔπαρχος Canter 1230 huc trai. Lawson[1] 1228 εὖ οἶδεν T οἵα Madvig 201 μισητῆς] fere malim λαιθάργου 1229 λείξασα Tyrwhitt[1]: λέξασα τ κἀγκλίνασα (καὶ ἀγκλ-) West[7] (καὶ κλίνασα Ahrens[8] 631): καὶ κτείνασα τ: κἀκτείνασα Canter (καὶ τείνασα Aur.[3]) φαιδρόνουσ τ (propter 1172 puto): dist. Ahrens l.c. (cl. Ar. Pac. 156) δάκνει West[7]: δίκην τ: possis et οἵα … δακεῖν 1231 τοιαῦτα T τόλμαν Martin[1] 7: τολμᾶ τ (-ᾷ T): τόλμα Ahrens[7] 1232 ἔσται Elmsley[4] 137 1233 σκύλλάν sic GTF 1234 πέτραισι τ 1235 θύουσαν τ μάστορ' Schoemann[3] 168: μαινάδ' Weil[2] ἀρὰν τ: corr. Lobeck[1] ad Ai. 802 (ἄρην), Franz 1240 σὺ μὴν τ: corr. anon.[1], Casaub.[1] 1241 γ' del. Bothe[1], cf. ad Eum. 121 οἰκτείρασ τ: corr. Kirchhoff[1] 1242 παιδίων τ: corr. Schütz[2] 1244 κλύοντ' τ: corr. Wil.[19] ἐξεικ- T: ἐξῃκ- GF

1245 τὰ δ' ἄλλ' ἀκούσας ἐκ δρόμου πεσὼν τρέχω.
ΚΑ. Ἀγαμέμνονός σέ φημ' ἐπόψεσθαι μόρον.
ΧΟ. εὔφημον ὦ τάλαινα κοίμησον στόμα.
ΚΑ. ἀλλ' οὔτι Παιὼν τῶιδ' ἐπιστατεῖ λόγωι.
ΧΟ. οὔκ, εἴπερ ἔσται γ'· ἀλλὰ μὴ γένοιτό πως.
1250 ΚΑ. σὺ μὲν κατεύχηι, τοῖς δ' ἀποκτείνειν μέλει.
ΧΟ. τίνος πρὸς ἀνδρὸς τοῦτ' ἄχος πορσύνεται;
ΚΑ. ἦ κάρτα ⟨μακ⟩ρὰν παρεκόπης χρησμῶν ἐμῶν.
ΧΟ. τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανήν.
ΚΑ. καὶ μὴν ἄγαν γ' Ἕλλην' ἐπίσταμαι φάτιν.
1255 ΧΟ. καὶ γὰρ τὰ πυθόκραντα, δυσμαθῆ δ' ὅμως.
ΚΑ. παπαῖ·
οἷον τὸ πῦρ ἐπέρχεται {δέ μοι}·
ὀτοτοῖ, Λύκει' Ἄπολλον· οἳ'γὼ'γὼ ⟨⏑ –⟩.
αὕτη δίπους λέαινα, συγκοιμωμένη
λύκωι λέοντος εὐγενοῦς ἀπουσίαι,
1260 κτενεῖ με τὴν τάλαιναν, ὡς δὲ φάρμακον
τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσει ποτῶι·
ἐπεύχεται, θήγουσα φωτὶ φάσγανον,

1247 κοίμισον T 1249 εἰ παρέσται τ: corr. Schütz[2] πω Paley[2] 1250 malim τοῖς δὲ δρᾶν ἤδη 1252 κάρτα μακρὰν Fraenkel[1] (μ. post παρ. iam Eitrem): κάρτ'ἄρ'ἂν τ: κάρτα λίαν Mazon (cf. Eur. Alc. 811) παρεσκόπεις GF, -πης T: corr. Hartung 1254 γ' susp. Fraenkel[1] (cf. ad 1241) 1255 δυσπαθῆ GF 1256 sq. παπαῖ παπαῖ Weil[2] παπαὶ – μοι et ὀτοτοῖ – οἳ ἐγὼ ἐγὼ tamquam duos trimetros τ: corr. fere Wil.[4] 246/192 n. 2 ὑπέρχεται Pallis ἐγώ alterum del. Wil. l.c.: praestat οἳ'γὼ'γὼ ⟨μάλα⟩ vel ⟨κακά⟩ (1214) vel ⟨κακῶν⟩ (cf. Soph. O.C. 982) ut vere trimeter sit 1258 δίπλουσ τ: corr. Vict. 1261 μισθὸν] μνείαν F[ss] ἐνθήσειν T[c] ποτῶι Scal.[2] (πότωι anon.[1], Casaub.[1]): κότω τ (-ῳ T): κότον Blaydes[4] 366: κύτει (322) Scal.[2]

ἐμῆς ἀγωγῆς ἀντιτείσεσθαι φόνον.
τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε,
1265 καὶ σκῆπτρα καὶ μαντεῖα περὶ δέρηι στέφη;
σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ·
ἴτ' εἰς φθόρον πεσόντ', ἐγώ θ' ἅμ' ἕψομαι·
ἄλλην τιν' ἄτης ἀντ' ἐμοῦ πλουτίζετε.
ἰδοὺ δ', Ἀπόλλων αὐτὸς οὐκδύων ἐμέ
1270 χρηστηρίαν ἐσθῆτ'. ἐποπτεύσας δέ με
κἀν τοῖσδε κόσμοις καταγελωμένην μέγα
φίλων ὑπ' ἐχθρῶν οὐ διχορρόπως, μάτην
1272a ⟨τὰ πιστὰ θεσπίζουσαν, οὐδὲν ἤρκεσεν,⟩
κακουμένη δέ, φοιτὰς ὡς ἀγύρτρια,
πτωχὸς τάλαινα λιμοθνὴς ἠνεσχόμην·
1275 καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμέ
ἀπήγαγ' εἰς τοιάσδε θανασίμους τύχας,
βωμοῦ πατρῴου δ' ἀντ' ἐπίξηνον μένει
θερμὸν κοπέντος φοινίωι προσφάγματι.
οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομεν·
1280 ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,

1263 (ἐνθήσειν π. ἐπ. ...) ἐμῆς τ' Blaydes[4] ἀντιτίσεσθαι Blomf.[10] (-τείσ- Wil.[5]): -τίσασθαι τ 1266 del. Meineke[0] 1267 ἐγώ θ' West (ἐγὼ δ' Aur.[3]): ἀγαθὼ δ' τ: (πεσόντα) γ' ὧδ' Jacob ἅμ' ἕψομαι anon. ap. Scholefield: ἀμείψομαι τ (ἀμείβομαι F[a]) 1268 ἄτης nescioquis (falso Stanleio adscribitur): ἄτην τ 1269 οὐκδύων Enger[12]: ἐκδύων τ. cf. fr. 350.8 1270 ἐποπτεύσασ G: ἐπόπτευσας F, ἐπώπτευσας T 1271 μέγα Hermann[17]: μέτα τ. cf. Cho. 137 1272 ἐχθρῶν τ' Enger[0] 1272a versum deesse ci. Denniston[4]; e.g. suppl. West[7] 1273 κακουμένη Tyrwhitt[1]: καλουμένη τ: κἀλωμένη Heath 1274 λιμόθνησ τ: corr. Elberling fort. ἀνεσχ-, cf. Cho. 747 1277 ἀντεπίξ- τ: dist. Aur.[2] 1278 θερμὸν Schütz[2]: θερμῶ τ κοπέντος Headlam[18] 290: κοπείσης τ φοίνιον Haupt 1279 ἄτιμόν GF[a]

μητροκτόνον φίτυμα, ποινάτωρ πατρός.
φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
κάτεισιν ἄτας τάσδε θριγκώσων φίλοις·
ἄξει νιν ὑπτίασμα κειμένου πατρός.
1285 τί δῆτ' ἐγὼ κάτοικ⟨τ⟩ος ὧδ' ἀναστένω;
ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν
πράξασαν ὡς ἔπραξεν, οἳ δ' εἷλον πόλιν
οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει,
ἰοῦσα πράξω· τλήσομαι τὸ κατθανεῖν·
1290 {ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας.}
Ἅιδου πύλας δὲ τάσδ' ἐγὼ προσεννέπω.
ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
ὡς ἀσφάδᾱιστος, αἱμάτων εὐθνησίμως
ἀπορρυέντων, ὄμμα συμβάλω τόδε.
1295 ΧΟ. ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' ⟨αὖ⟩ σοφὴ
γύναι, μακρὰν ἔτεινας. εἰ δ' ἐτητύμως
μόρον τὸν αὑτῆς οἶσθα, πῶς θεηλάτου
βοὸς δίκην πρὸς βωμὸν εὐτόλμως πατεῖς;
ΚΑ. οὐκ ἔστ' ἄλυξις, οὔ, ξένοι, χρόνωι πλέον.
1300 ΧΟ. ὁ δ' ὕστατός γε τοῦ χρόνου πρεσβεύεται.

1281 cf. Hsch. φ 565 1282 (ἀπόξ.) Phot. α 2598

1284 ἄξειν F, cf. ad 1290 1285 κάτοικτος Scal.[2]: κάτοικος τ: κάτοικτον Karsten: κάτοκνος Wakefield[0] 1286 ἐπεὶ πατρῴιαν (= πρῴιαν) Blaydes[2] 1287 εἷλον Musgrave: εἶχον τ πάλιν Keck[2] 1288 ἐν G T: ἐκ (1290) F 1289 ὑπάρξω Heyse: ἀπάρξω Page[1]: πόρσω Orelli[2] 205 praeeunte anon.[1] (πρόσ(σ)ω) 1290 susp. Schütz[2] (locus similis ad 1288 adscriptus u. v.; cf. Trag. adesp. 145 b): post 1283 posuit Hermann[14] 7/80 sq. (1284 ἄξειν legens): etiam post 1281 stare possit 1291 δὴ Keck[2] τὰσ λέγω τ: corr. Canter 1293 ἀσφάδαστος τ: corr. Blaydes[4] εὐθνησίμως Bothe[2]: -μων τ 1295 δ'αὖ T: δὲ G F (τ) 1296 ἔκτεινασ G 1299 πλέω τ (-ῳ T): -ων Portus[1]: corr. nescioquis

ΚΑ. ἥκει τόδ' ἦμαρ· σμικρὰ κερδανῶ φυγῆι.
ΧΟ. ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενός.
ΚΑ. οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων.
ΧΟ. ἀλλ' εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῶι.
1305 ΚΑ. ἰὼ πάτερ, σοῦ σῶν τε γενναίων τέκνων.
1313 ἀλλ' εἶμι κἀν δόμοισι κωκύσουσ' ἐμὴν
Ἀγαμέμνονός τε μοῖραν· ἀρκείτω βίος.
1315 ἰὼ ξένοι –
1306 ΧΟ. τί δ' ἐστι χρῆμα; τίς σ' ἀποστρέφει φόβος;
ΚΑ. φῦ φῦ –
ΧΟ. τί τοῦτ' ἔφυξας; εἴ τι μὴ φρενῶν στύγος.
ΚΑ. φόνον δόμοι πνέουσιν αἱματοσταγῆ.
1310 ΧΟ. καὶ πῶς; τόδ' ὄζει θυμάτων ἐφεστίων.
ΚΑ. ὅμοιος ἁτμὸς ὥσπερ ἐκ τάφου πρέπει.
1312 ΧΟ. οὐ Σύριον ἀγλάϊσμα δώμασιν λέγεις.
1316 ΚΑ. οὔτοι δυσοίζω θάμνον ὡς ὄρνις φόβωι
ἄλλως· θανούσηι μαρτυρεῖτέ μοι τόδε,
ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνηι
ἀνήρ τε δυσδάμαρτος ἀντ' ἀνδρὸς πέσηι·
1320 ἐπιξενοῦμαι ταῦτα δ' ὡς θανουμένη.
ΧΟ. ὦ τλῆμον, οἰκτίρω σε θεσφάτου μόρου.

1308 (ἔφ(ε)υξας) cf. Ael. Dion. ω 4

1303 ΧΟ. post 1304 ΚΑ. Musgrave 1304 βροτοῖς exspectaveram 1305 σῶν Aur.[3]: τῶν *τ* 1313–5 huc trai. A. Y. Campbell[4] (1313–4 iam Enger[0]) 1313 κἀν θανοῦσι Karsten, cf. 1160 sq. Soph. Ai. 865: κἀν καμοῦσι M. Schmidt[0] 1314 possis τοῦ δεσπότου τε 1306 fort. τί ἐστι (Pers. 693 v. l.) 1307 sq. φῦ φῦ … ἔφυξας Heyse: φεῦ φεῦ … ἔφευξας Σ*τ* (et Ael. Dion.?) 1308 στύγει Wecklein[13] 1309 φόβον (cf. 1306) *τ*: corr. T[ss] fort. αἱματοσφαγῆ (Pers. 816) 1311 ἁτμὸς West[7]: ἀτμὸς *τ* ἐξ Ἅιδου anon.[1] 1317 ἄλλως· Hermann[17]: ἀλλ' ὡς *τ*, quo servato μαρτυρῆτέ Orelli[2] 206 1321 οἰκτείρω *τ*: corr. Kirchhoff[1]

ΚΑ. ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν, ἢ θρῆνον θέλω
ἐμὸν τὸν αὐτῆς· ἡλίου δ' ἐπεύχομαι
πρὸς ὕστατον φῶς, δεσπότου τιμαόροις
1325 ἐχθροὺς φόνευσιν τὴν ἐμὴν τίνειν ὁμοῦ,
δούλης θανούσης, εὐμαροῦς χειρώματος.
ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μέν
σκιά τις ἂν τρέψειεν· εἰ δὲ δυστυχῆι,
βολαῖς ὑγρώσσων σπόγγος ὤλεσεν γραφήν.
1330 καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτίρω πολύ.

ΧΟ. τὸ μὲν εὖ πράσσειν ἀκόρεστον ἔφυ πᾶσι βροτοῖσ⟨ιν⟩,
δακτυλοδείκτων δ' οὔτις ἀπειπὼν εἴργει μελάθρων,
"μηκέτ' ἐσέλθηις", τάδε φωνῶν.
1335 καὶ τῶιδε πόλιν μὲν ἑλεῖν ἔδοσαν μάκαρες Πριάμου,
θεοτίμητος δ' οἴκαδ' ἱκάνει·
νῦν δ' εἰ προτέρων αἷμ' ἀποτείσει
καὶ τοῖσι θανοῦσι θανὼν ἄλλων
1340 ποινὰς θανάτων ἐπικρανεῖ,
τίς ἂν ⟨ἐξ⟩εύξαιτο βροτῶν ἀσινεῖ
δαίμονι φῦναι τάδ' ἀκούων;

1323 ἡλίου Jacob: ἡλίῳ *τ* 1324 δεσπότου M. Schmidt[0]: τοῖς ἐμοῖς (cf. infra) *τ* (τοῖσ ex τουσ? F): βασιλέως Hermann[32] 1325 ἐχθροὺς Pearson[1]: -οῖσ *τ* φόνευσιν Bothe[2]: φονεῦσι *τ*: φανεῖσι Ahrens[7] τὴν ἐμὴν Heller: τοῖσ ἐμοῖσ *τ* 1327–30 choro trib. Weil[2] 1328 σκιᾶι Wieseler[0] ἀντρέψειεν *τ*: dist. Porson[1] δυστυχῆι Vict.: -χῆ *τ*: -χοῖ Blomf.[10] 1330 οἰκτείρω *τ*: corr. Kirchhoff[1] 1331 πράττειν *τ*: corr. Porson[1] 1332 βροτοῖς *τ*: corr. Jacob[2] (-οῖσι), Pauw δακτυλοδεικτῶν Σ *τ*: corr. Schütz[6] 1334 μηκέτι δ' εἰσέλθησ *τ*: corr. Hermann[17] 1338 ἀποτίσει *τ*: corr. Kirchhoff[2] 1339 τοῖσι θανοῦσι sc. Thyestae, ἄλλων θανάτων sc. Thyestae liberorum 1340 ἐπικρᾶνεῖ vix sanum (ἄγαν ἐπικρανεῖ T paroemiaci inimicus): ἀποτίσαι ... ἐπικράναι Keck[2]: -σηι ... -νηι Zakas: ⟨θανάτωι⟩ 'πικρανεῖ Emperius[1] 634: possis ⟨ἤδη⟩ 'πικρανεῖ 1341 ἐξεύξαιτο Schneidewin[5]: εὔξαιτο *τ*

ΑΓ. ὤιμοι, πέπληγμαι καιρίαν †πληγὴν ἔσω†.
ΧΟ. σῖγα· τίς πληγὴν ἀϋτεῖ, καίρι' ὡς οὐτασμένος;
1345 ΑΓ. ὤιμοι μάλ' αὖθις, δευτέραν πεπληγμένος.
ΧΟ. τοὔργον εἰργάσθαι δοκεῖ μοι βασιλέως οἰμώγμασιν.
ἀλλὰ κοινωσώμεθ' ἤν πως ἀσφαλῆ βουλεύματ' ⟨ἦι⟩.
— ἐγὼ μὲν ὕμιν τὴν ἐμὴν γνώμην λέγω,
πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοήν.
1350 — ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ
καὶ πρᾶγμ' ἐλέγχειν ξὺν νεορρύτωι ξίφει.
— κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὢν
ψηφίζομαί τι δρᾶν· τὸ μὴ μέλλειν δ' ἀκμή.
— ὁρᾶν πάρεστι· φροιμιάζονται γὰρ ὡς
1355 τυραννίδος σημεῖα πράσσοντες πόληι.
— χρονίζομεν γάρ, οἱ δὲ τῆς μελλοῦς κλέος
πέδον πατοῦντες οὐ καθεύδουσιν χερί.
— οὐκ οἶδα βουλῆς ἥστινος τυχὼν λέγω·
τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρι.
1360 — κἀγὼ τοιοῦτός εἰμ', ἐπεὶ δυσμηχανῶ
λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν.

1356 'Trypho' (I) π. τρόπων Rhet. III 196.24 Sp.

1343 ὤιμοι Stanley[1]: ὤμοι τ (item 1345) πλευρῶν ἔσω Weil[2]: πληγὴν ἐγώ Karsten: ἔσω scholiastae esse ci. Vetta cl. sch. Eur. Med. 96 (τάδε λέγει ἡ Μήδεια ἔσω οὖσα) al. 1344 καιρίως τ: dist. West[7] 1345 πεπλήγμεθα Nauck ap. Hense (-μένος ex 1344?) 1347 ἄν πως τ: corr. Paley[1] βουλεύματ' ἦι Enger[4]: -ματα τ 1348–70 singulis distichis χορός praefix. τ 1348 ὑμῖν τ (ἡμῖν F[a]) possis τήνδ' 1351 ξὺν Vict.: σὺν τ 1353 τὸ δρᾶν τι· Musgrave 1355 πόλει τ 1356 μελλοῦς Trypho: μελλοῦσ(ης) TF (τῆς om. T) κλέος τ: χάριν Trypho ('natum hoc e χερί v. 1357 olim simul adscripti' Wil.[19]) 1357 πέδοι Hermann[32] (πεδοῖ id.[17]), at cf. Cho. 643. Call. Hy. 4.227 1358 τύχω λέγων Schütz[6]: ποίαν εἰπὼν βουλὴν ἐπιτύχω Σ 1359 πέρι multis frustra temptatum

— ἦ καὶ βίον τείνοντες ὧδ' ὑπείξομεν
δόμων καταισχυντῆρσι τοῖσδ' ἡγουμένοις;
— ἀλλ' οὐκ ἀνεκτόν, ἀλλὰ κατθανεῖν κρατεῖ·
1365 πεπαιτέρα γὰρ μοῖρα τῆς τυραννίδος.
— ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων
μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος;
— σάφ' εἰδότας χρὴ τῶνδε μυθεῖσθαι πέρι·
τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα.
1370 — ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι,
τρανῶς Ἀτρείδην εἰδέναι κυροῦνθ' ὅπως.

ΚΛ. πολλῶν πάροιθεν καιρίως εἰρημένων
τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.
πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
1375 δοκοῦσιν εἶναι, πημονῆς ἀρκύστατ' ἂν
φάρξειεν ὕψος κρεῖσσον ἐκπηδήματος;
ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος †πάλαι
νίκης παλαιᾶς† ἦλθε, σὺν χρόνωι γε μήν.
ἕστηκα δ' ἔνθ' ἔπαισ' ἐπ' ἐξειργασμένοις·
1380 οὕτω δ' ἔπραξα, καὶ τάδ' οὐκ ἀρνήσομαι,
ὡς μήτε φεύγειν μήτ' ἀμύνασθαι μόρον·
ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,

1362 κτείνοντες τ: corr. Aur.[3], Canter 1363 τῶνδ' Blaydes[4] cl. Cho. 764 1364 κράτει τ: corr. Casaub.[1] 1367 -μεθα F 1368 μυθεῖσθαι J. G. Schneider: μυθοῦσθαι τ: θυμοῦσθαι E. A. J. Ahrens 1375 πημονῆς Aur.[3]: -νὴν τ ἀρκύστατ' ἂν Elmsley[5] ad Med. 417: -τατον τ: -τάτων Wakefield[0] (cum πημονὴν), Hermann[32] 1376 φράξειεν TF, φρέξειεν G: corr. Dind.[4] 1377 πέλει Mähly[1] 556 1378 δίκης Pauw: νείκης (vox valde dubia) Heath (δίκης) τελείας Karsten: νίκη τέλειος Wil.[5]: Δίκη τέλειος Merkelbach[2] 22 1379 post 1392 trai. Abresch I 391 ἔπεσ' F 1381 ἀμύνασθαι Στ: -εσθαι Vict.

περιστοχίζω, πλοῦτον εἵματος κακόν·
παίω δέ νιν δίς, κἀν δυοῖν οἰμωγμάτοιν
1385 μεθῆκεν αὐτοῦ κῶλα· καὶ πεπτωκότι
τρίτην ἐπενδίδωμι, τοῦ κατὰ χθονός
Διὸς νεκρῶν σωτῆρος εὐκταίαν χάριν.
οὕτω τὸν αὐτοῦ θυμὸν ὁρμαίνει †πεσών†,
κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν
1390 βάλλει μ' ἐρεμνῆι ψακάδι φοινίας δρόσου,
χαίρουσαν οὐδὲν ἧσσον ἢ διοσδότωι
1392 γάνει σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
1395 εἰ δ' ἦν, πρεπόντων ὥστ' ἐπισπένδειν νεκρῶι,
τοῦδ' ἂν δικαίως ἦν, ὑπερδίκως μὲν οὖν·
τοσόνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε
1398 πλήσας ἀραίων αὐτὸς ἐκπίνει μολών.

1384 cf. Hsch. π 109

1383 περιστοχίζω West[3] 107 cl. Soph. Ant. 241. Harp. p. 248.7. Poll. 5.36: -στοιχίζων F: -στϊχίζων G: -στιχίζω T: -στολίζω Needham **1384** οἰμωγμάτοιν Elmsley[5] ad Med. 798, cf. Pers. 720. Cho. 304.944.1047. Eum. 600 (em.): οἰμώγμασιν *τ* **1385** αὑτοῦ Bourdelot (cf. 1388) **1387** Διὸς Enger[2] 13 (Ζηνὸς Zakas): ᾅδου GT, ἅδου F **1388** αὑτοῦ Pauw: αὐτοῦ *τ* ὀρυγάνει Hermann[32] πνέων Wakefield[1] 104 **1389** σφυγήν Wil.[5]: ῥαγήν Fraenkel[1]: ζάλην Keck[2]: ῥοήν (Soph. Ant. 1238) Nauck[6] 204: πνοήν (Soph. ibid. v.l.) Blaydes[2]: βαφήν Schneidewin[4] 160 αἱμάδα σφαγῆς A. Y. Campbell[4] **1391** sq. διοσδότωι | γάνει Porson[9] 210: διὸς νότω | γᾶν εἰ *τ*: Δ. ν. | γαίει Musgrave, γαθεῖ Lloyd-Jones ap. Page[1] σπόρητος *τ*, cf. grammaticorum doctrinas de accentibus ἄμητος/ἀμητός, τρύγητος/τρυγητός, Chandler Gr. Accent.[2] 95 **1395–8** ante 1393–4 West[7] **1395** πρεπόντων ἐπισπένδειν cf. Ach. Tat. 3.16.5: πρεπόντως anon.[1] **1396** τοῦδ' (cruoris) West[7]: τάδ' *τ* **1397** τοσόνδε Blomf.[10]: τοσῶνδε Σ[λ] *τ* **1398** στήσας Wecklein[11]

1393 ὡς ὧδ' ἐχόντων, πρέσβος Ἀργείων τόδε,
1394 χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι.
1399 ΧΟ. θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος,
1400 ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον.
ΚΛ. πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος,
ἐγὼ δ' ἀτρέστωι καρδίαι πρὸς εἰδότας
λέγω (σὺ δ' αἰνεῖν εἴτέ με ψέγειν θέλεις,
ὅμοιον)· οὗτός ἐστιν Ἀγαμέμνων ἐμός
1405 πόσις, νεκρὸς δέ, τῆσδε δεξιᾶς χερός
ἔργον, δικαίας τέκτονος. τάδ' ὧδ' ἔχει.

ΧΟ. τί κακὸν ὦ γύναι — str. 1
χθονοτρεφὲς ἐδανὸν ἢ ποτὸν
πασαμένα ῥυτᾶς ἐξ ἁλὸς ὀρόμενον
τόδ' ἐπέθου θύος δημοθρόους τ' ἀράς;
1410 ἀπέδικες ἀπέταμες, ἀ⟨πό⟩πολις δ' ἔσηι,
μῖσος ὄβριμον ἀστοῖς.

ΚΛ. νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοί
καὶ μῖσος ἀστῶν δημόθρους τ' ἔχειν ἀράς,
οὐδὲν τότ' ἀνδρὶ τῶιδ' ἐναντίον φέρων,
1415 ὃς οὐ προτιμῶν, ὡσπερεὶ βοτοῦ μόρον
μήλων φλεόντων εὐπόκοις νομεύμασιν,

1403 εἴτέ sic GF 1406 δικαίας GF et Σ 1372: δικαίως T 1408 ῥύσας (GF) vel ῥυσᾶς Σ τ: corr. Stanley[1] ὀρόμενον Canter, cf. Σ ὁρμώμενον: ὀρώμενον (ὁρ- GF) τ: ὄρμενον Abresch I 391 1409 ἐπεύθου T cum gl. ἔμαθεσ, cf. Σ ἔμαθες ... ποιεῖν θύος ... ἀράς] cf. 1118 1410 ἀπέδικες ἀπέταμες (-τ$\overset{\varepsilon}{\tilde{\alpha}}$μες F, -τ$\overset{\alpha}{\tilde{\varepsilon}}$μεσ T) obscurum: possis ἀπόδικος (Karsten) ἀπόγαμος (ἀπότιμος Karsten servato ἄπολις) ἀπόπολις Casaub.[1]: ἄπολισ τ τ' Hartung 1411 ὄμβριμον τ: corr. Pauw 1414 οὐ σὺν F^{a} τότ' anon.[1]: τόδ' Σ^{λ} τ 1415 ὅτ' Wil.[5] 1416 εὐτόκοις G

ἔθυσεν αὑτοῦ παῖδα, φιλτάτην ἐμοί
ὠδῖν', ἐπωιδὸν Θρηικίων ἀημάτων.
οὐ τοῦτον ἐκ γῆς τῆσδε χρῆ⟨ν⟩ σ' ἀνδρηλατεῖν
1420 μιασμάτων ἄποιν'; ἐπήκοος δ' ἐμῶν
ἔργων δικαστὴς τραχὺς εἶ. λέγω δέ σοι
τοιαῦτ' ἀπειλεῖν ὡς παρεσκευασμένης
ἐκ τῶν ὁμοίων χειρὶ νικήσαντ' ἐμοῦ
ἄρχειν· ἐὰν δὲ τοὔμπαλιν κραίνηι θεός,
1425 γνώσηι διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν.

ΧΟ. μεγαλόμητις εἶ, ant. 1
περίφρονα δ' ἔλακες, ὥσπερ οὖν
φονολιβεῖ τύχαι φρὴν ἐπιμαίνεται·
λίπος ἐπ' ὀμμάτων αἵματος εὖ πρέπει.
ἄντιτον ἔτι σε χρὴ στερομέναν φίλων
1430 τύμμα τύμμα⟨τι⟩ τεῖσαι.

ΚΛ. καὶ τήνδ' ἀκούεις ὁρκίων ἐμῶν θέμιν·
μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς Δίκην

1417 αὐτοῦ τ: corr. Vict. 1418 ἐπωδὴν G τὲ λημμάτων τ: corr. Canter 1419 χρή τ: corr. Porson[1] 1420 βιασμάτων G ἐμῶν δ' ἐπήκοος Whittle[4] 14 1422 παρεσκευασμένον Casaub.[3] 1423 sq. ὁμοίων ⟨πεῖραν εἰσελθεῖν κράτους· οὐ γὰρ φθονήσω⟩ ... ἄρχειν ⟨σ'⟩ Heyse (⟨σ'⟩ iam Dind.[12]) χερί ⟨τε⟩ Wil.[5] 1424 κράνηι Herwerden[5] 141 1426 παράφρονα Musgrave 1428 sq. λῖπος τ (λίπος Porson[1]): λίβος Scal.[2], Casaub.[1] ἐμπρέπει Aur.[3]: αἱματόεν πρέπει Blaydes[4] πρέπειαντίετον GF, πρέπει, ἀτίετον T (cf. Σ ὥστε τὸν φονεύοντά σε μὴ ἐγκαλεῖσθαι): corr. Weil[2] 1430 τύμματι anon.[1]: τύμμα τ τίσαι τ: corr. Porson[1] (τῖσαι), Kirchhoff[2] 1431 κἂν τήνδ' ἀκούοις (cf. Eum. 681. Soph. El. 637) F. W. Schmidt 54 (ἀκούοις iam Pearson[1]) ὁρκίαν ἐμὴν Headlam(?) ap. Thomson[4] cl. Eur. Med. 208

Ἄτην Ἐρινύν θ', ἧισι τόνδ' ἔσφαξ' ἐγώ,
οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖ,
1435 ἕως ἂν αἴθηι πῦρ ἐφ' ἑστίας ἐμῆς
Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί·
οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ ⟨σ⟩μικρὰ θράσους.
κεῖται γυναικὸς τῆσδε λυμαντήριος,
Χρυσηΐδων μείλιγμα τῶν ὑπ' Ἰλίωι,
1440 ἥ τ' αἰχμάλωτος ἥδε, καὶ τερασκόπος
καὶ κοινόλεκτρος τοῦδε, θεσφατηλόγος
πιστὴ ξύνευνος, ναυτίλων δὲ σελμάτων
ἰστοτρίβης. ἄτιμα δ' οὐκ ἐπραξάτην·
ὁ μὲν γὰρ οὕτως, ἣ δέ τοι κύκνου δίκην
1445 τὸν ὕστατον μέλψασα θανάσιμον γόον
κεῖται, φιλήτωρ τοῦδ', ἐμοὶ δ' ἐπήγαγεν
†εὐνῆς† παροψώνημα τῆς ἐμῆς χλιδῆς.

ΧΟ. φεῦ, τίς ἂν ἐν τάχει μὴ περιώδυνος — str. 2
μηδὲ δεμνιοτήρης
1450 μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν
μοῖρ' ἀτέλευτον ὕπνον, δαμέντος
φύλακος εὐμενεστάτου, {καὶ}

1444–5 (κύκνου – γόον) Tz. in Lyc. 426

1433 Ἄτην τ' Butler: Ἀράν τ' Ἐρινὺν Herwerden[11] cl. Sept. 70 αἷσι *τ* **1435** ἐμὰσ *τ* (-ᾶσ F[a] u. v.): corr. Porson[1] **1437** ἥμῖν *τ* μικρὰ *τ*: corr. Blomf.[3] 502 **1438** τῆσδ' ὁ Kayser ante vel post h.v. versum deesse ci. Hermann[32] **1441** καὶ] ἡ Karsten **1442** ναυτικῶν Casaub.[1] τε Karsten coniugis nauticae nocturno muneri diurnum additur (ξύνευνος ... ἱστοτρίβης, cf. Il. 1.31) **1446** φιλήτωσ F **1447** fort. ηὑνὴ (εὐνὴ Voss): ἁνὴρ Blaydes[4] (ἀνὴρ Wil.[5]) παροψόνημα *τ*: corr. Casaub.[3] **1450** φέρουσα χἠμῖν Weil[11] 123: ἂν ἁμῖν Emperius[1] 635: ἐνηῆ Keck[2] (ἐνηᾶ debuit) **1452** καὶ del. Franz

πολέα τλάντος γυναικὸς διαί·
πρὸς γυναικὸς δ' ἀπέφθισεν βίον.

1455 ἰώ, ⟨ἰὼ⟩ παράνους Ἑλένα, ephymn. 1
μία τὰς πολλάς, τὰς πάνυ πολλὰς
ψυχὰς ὀλέσασ' ὑπὸ Τροίαι·
νῦν τελέαν πολύμναστον ἐπηνθίσω
1460 δι' αἷμ' ἄνιπτον, ἥτις ἦν τότ' ἐν δόμοις
Ἔρις ἐρίδματος ἀνδρὸς οἰζύς.

ΚΛ. μηδὲν θανάτου μοῖραν ἐπεύχου τοῖσδε βαρυνθείς,
μηδ' εἰς Ἑλένην κότον ἐκτρέψηις
1465 ὡς ἀνδρολέτειρ', ὡς μία πολλῶν
ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασ'
ἀξύστατον ἄλγος ἔπραξεν.

ΧΟ. δαῖμον, ὃς ἐμπίτνεις δώμασι καὶ διφυί- ant. 2
οισι Τανταλίδαισιν,
1470 κράτος ⟨τ'⟩ ἰσόψυχον ἐκ γυναικῶν
καρδιόδηκτον ἐμοὶ κρατύνεις·
ἐπὶ δὲ σώματος δίκαν {μοι}

1453 πολέα Haupt: πολλὰ τ διὰ T 1455 ἰὼ iteravit Blomf.[10], cf. 1489 = 1513 παρανόμουσ τ: corr. Hermann[17] fort. Ἑλένη, at cf. 1537 1458 τελέαν Wil.[19] (δὲ τελέαν id.[10] 203): δὲ τελείαν τ: δὲ λίαν Wecklein[13] 1460 ἤ τις Schütz[2]: ἦν τις Sansone 5 duce Blaydes[4] 1461 ὀΐζύσ τ: corr. Porson[1] 1462 μὴ δὴ Heyse 1464 ἐκτρέχησ F 1466 ὀλέσαν GF 1468 sq. ἐμπίπτεις τ: corr. Canter διφυίοισι Hermann[17],[18] 704: διφυεῖσι Σ[λ] τ ταντaλίδεσιν GF 1470 ⟨τ'⟩ Hermann[17]: ⟨δ'⟩ Portus[2] 1471 καρδία (-ᾳ T) δηκτὸν τ: corr. Abresch I 397 1472 τε Keck[2] μοι del. Dind.[4]

κόρακος ἐχθροῦ σταθεὶς ἐκνόμως
ὕμνον ὑμνεῖν ἐπεύχεται ⟨⏑ –⟩.

1475 ΚΛ. νῦν δ' ὤρθωσας στόματος γνώμην,
τὸν τριπάχυντον δαίμονα γέννης τῆσδε κικλήσκων·
ἐκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς †νείρει† τρέφεται(·)
1480 πρὶν καταλῆξαι τὸ παλαιὸν ἄχος, νέος ἰχώρ.

ΧΟ. ἦ μέγαν †οἴκοις τοῖσδε† str. 3
δαίμονα καὶ βαρύμηνιν αἰνεῖς –
φεῦ φεῦ, κακὸν αἶνον – ἀτηρᾶς τύχας ἀκόρεστον,
1485 ἰὼ ἰή, διαὶ Διός
παναιτίου πανεργέτα·
τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται;
τί τῶνδ' οὐ θεόκραντόν ἐστιν;

1485–92 imit. Christ. Pat. 1457–64

1473 σταθεῖσ' Stanley[2,3] ἐκνόμως Σ T[c]: ἐννόμως τ 1474 ὡς κόραξ ἐσθίων νεκρὸν σῶμα βοᾶι, οὕτω καὶ ὁ δαίμων ἐκνόμως †δικάσει† (ἄιδει Risberg[1] 55) παρὰ τὸ δίκαιον Σ ἐπεύχεται ⟨κακόν⟩ Murray[1], ⟨πικρόν⟩ Page[3], ⟨δίκης⟩ (-ας debuit) Kayser: ⟨'Αρᾶν⟩ ἐπεύχεται Risberg l.c.: ὑμνεῖς ἀπεύχετον ⟨δίκας⟩ Mähly[1] 559: ἐπεύχεαι Portus[1], Canter 1475 δ' del. Headlam[6] 247: γ' Bourdelot 1476 τριπάχυντον Bamberger[5] 10/155: τριπάχυιον τ: τριπάλαιον Blomf.[10] incertum an hanc vocem respiciat Σ δαίμονα ... τὸν παλαιόν 1477 γέννῆς[ας] GF, γέννας T 1479 νείρηι Portus[1] ('debebat esse νείραι' Wellauer[2]): τείρει· Margoliouth[2] (τρέφεται ... ἰχώρ): fort. νεῖται· 1481 ἐγγενέταν Schoemann[2] 14/154: οἰκοσινῆ Wil.[19]: ἦ μέγαν ἦ μέγαν οἴκοις Weil[6] 139 1484 τύχας τ' A.Y. Campbell[5] ἀκορέστου τ: corr. Todt[2] 217 1486 πανεργέτα T: πανεργέταν GF (-γατ- F[a]): παντεργάτα Chr. Pat. 1457

1490 ἰὼ ⟨ἰὼ⟩ βασιλεῦ βασιλεῦ, πῶς σε δακρύσω; ephymn. 2
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῶιδ'
ἀσεβεῖ θανάτωι βίον ἐκπνέων,
ὤιμοί μοι, κοίταν τάνδ' ἀνελεύθερον,
1495 δολίωι μόρωι δαμείς
ἐκ χερὸς ἀμφιτόμωι βελέμνωι.

ΚΛ. αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν·
μὴ δ' ἐπιλεχθῆις Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον·
1500 φανταζόμενος δὲ γυναικὶ νεκροῦ
τοῦδ' ὁ παλαιὸς δριμὺς ἀλάστωρ
Ἀτρέως χαλεποῦ θοινατῆρος
τόνδ' ἀπέτεισεν, τέλεον νεαροῖς ἐπιθύσας.

1505 ΧΟ. ὡς μὲν ἀναίτιος εἶ ant. 3
τοῦδε φόνου τίς ὁ μαρτυρήσων;
πῶ πῶ; πατρόθεν δὲ συλλήπτωρ γένοιτ' ἂν ἀλάστωρ·
βιάζεται δ' ὁμοσπόροις
1510 ἐπιρροαῖσιν αἱμάτων
μέλας Ἄρης, ὅποι δίκαν προβαίνων
πάχνας κουροβόρου παρέξει.

1489 nulla nota in GF: ἡμιχόριον praefix. T ἰὼ bis T et Chr. Pat. 1460: semel GF 1491 ποτ'ἄρ' T, ποτ' ἄρ' ἄισω Chr. Pat. 1463 1492 ὑφάσμασι τοῖσδ' Chr. Pat. 1464 ἐκπνείων T: ἐκπνεύων Wil.[5]: ἐκπνεύσας Hartung: ἐκπονέων Diggle[1] 3 1494 ὤμοι τ ἀνελεύθερα T 1495 δαμεὶς ⟨δάμαρτος⟩ Enger[3] 387 1497 τοὔργον ἐμὸν τόδε; T post haec lac. stat. Keck[2] 1503 ἀπέτισεν τ: corr. Kirchhoff[2] 1504 νεκροῖς T 1505 εἶ ⟨σύ⟩ Schütz[2], cf. ad 1481 1511 δίκαν Butler (-ην), Scholefield: δὲ καὶ τ προσβαίνων τ: corr. Aur.[3], Canter 1512 πάχνας κουροβόρου Butler: πάχνα κουροβόρω τ (-ρῳ T) 1513 χορός praefix. F, ἡμιχόριον T

ἰὼ ⟨ἰὼ⟩ βασιλεῦ βασιλεῦ, πῶς σε δακρύσω; ephymn. 2
1515 φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῶιδ'
ἀσεβεῖ θανάτωι βίον ἐκπνέων,
ὤιμοί μοι, κοίταν τάνδ' ἀνελεύθερον,
δολίωι μόρωι δαμεὶς
1520 ἐκ χερὸς ἀμφιτόμωι βελέμνωι.

ΚΛ. οὔτ' ἀνελεύθερον οἶμαι θάνατον τῶιδε γενέσθαι,
⟨δόλιόν τε λαχεῖν μόρον οὐκ ἀδίκως·⟩
οὐδὲ γὰρ οὗτος δολίαν ἄτην οἴκοισιν ἔθηκ';
1525 ἀλλ' ἐμὸν ἐκ τοῦδ' ἔρνος ἀερθέν,
τὴν πολύκλαυτόν †τ' Ἰφιγένειαν†
⟨. . . . .⟩
ἄξια δράσας, ἄξια πάσχων,
μηδὲν ἐν Ἅιδου μεγαλαυχείτω,
ξιφοδηλήτωι θανάτωι τείσας ἅπερ ἔρξεν.

1530 ΧΟ. ἀμηχανῶ, φροντίδος στερηθεὶς str. 4
εὐπάλαμον μέριμναν,
ὅπαι τράπωμαι πίτνοντος οἴκου.
δέδοικα δ' ὄμβρου κτύπον δομοσφαλῆ
τὸν αἱματηρόν· ψακὰς δὲ λήγει,

1513–20 eadem fere codd. atque in 1489–96 (1517 εὐσεβεῖ F) post 1522 lac. stat. Wil.[5], e.g. suppl. West[7] 1526 πολυκλαύτην Porson[4] ad Med. 822 τ' del. Porson ibid.: γ' Casaub.[1]: παῖδ' Ahrens[7] (et Ἰφιγόνην): fort. ⟨πολυκώκυτόν⟩ τ' vel sim. post h.v. lac. stat. Wil.[5], παῖδ' Ἰφιγένειαν ⟨ἔθυσε πατήρ·⟩ supplens 1527 ἀνάξια δράσασ τ: corr. Hermann[17] 1529 τίσασ τ: corr. Kirchhoff[2] ἔρξεν Bourdelot (cf. 1564): ἦρξεν τ (cf. Hes. Op. 709–11. Trag. adesp. 490. Eur. Herc. 1169) 1530 φροντίδων T 1531 εὐπάλαμνον τ: corr. Porson[1], Hermann[1] 435: ἀπάλαμον Hermann[32] 1533 δημοσφαλῆ G 1534 ψεκὰσ τ: corr. Blomf.[10] ἐπείγει Platt[1] 96: λήγοι West[2] 99

1535 Δίκāι δ' ἐπ' ἄλλο πρᾶγμα θηγ⟨άν⟩ει βλάβας
πρὸς ἄλλαις θηγάναισ⟨ι⟩ Μοῖρα.

ἰὼ γᾶ γᾶ, εἴθε μ' ἐδέξω — ephymn. 3
πρὶν τόνδ' ἐπιδεῖν ἀργυροτοίχου
1540 δροίτης κατέχοντα χάμευναν.
τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;
ἦ σὺ τόδ' ἔρξαι τλήσηι, κτείνασ'
ἄνδρα τὸν αὑτῆς ἀποκωκῦσαι
1545 ψυχῆι τ' ἄχαριν χάριν ἀντ' ἔργων
μεγάλων ἀδίκως ἐπικρᾶναι;
τίς δ' ἐπιτύμβιον αἶνον ἐπ' ἀνδρὶ θείωι
ξὺν δακρύοις ἰάπτων
1550 ἀληθείαι φρενῶν πονήσει;

ΚΛ. οὐ σὲ προσήκει τὸ μέλημ' ἀλέγειν τοῦτο· πρὸς ἡμῶν
κάππεσε, κάτθανε, καὶ καταθάψομεν,
οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξοίκων,

1535 (θηγάνει) Hsch. θ 454, Et.G. s.v., cf. Et.M. 450.13 1540 (δροίτης) Eu. 1726.11, cf. Hsch. δ 2394, Et.G. = M. 288.5

1535 δίκη F(G[gl]T[gl]): δίκης Haupt: ἀκὰν Keck[2] θηγάνει Hermann[17] ex Hsch.: θήγει τ βλάβης τ, -ας Paley[3]: βέλος Karsten: ξίφος Weil[0] 1536 πρὸς Ἄτας Keck[2] (βλάβης huius glossema esse ratus) θηγάναισ τ: corr. Pauw Μοίρας Aur.[3] (μοίρα G) 1537 ἡμιχόριον praefix. GTF, item 1547 1538 εἴθ' ἔμ' GF 1540 δροίτασ τ νῦν κατέχοντα T χαμεύναν τ (-ην Dind.[5]): corr. Solmsen 1541 ὅ νιν θάψων Diggle[1] 3: fort. praestat νιν ὁ θ. 1545 ψυχῆι τ' E. A. J. Ahrens: ψυχὴν τ 1547 ἐπιτύμβιος αἶνος τ: corr. Casaub.[1] 1549 ξὺν Schütz[2]: σὺν τ δακρύοιν (ν ex σ) F: δάκρυσιν Porson[1] 1550 ἀλαθείαι Dind.[4] 1551 οὔ σε GF: οὔτε T μέλημα λέγειν τ: corr. Karsten 1554 ἐξοίκων Aur.[3]: ἐξ οἴκων τ idem valet Cho. 431 ἄνευ πολιτᾶν

1555 ἀλλ' Ἰφιγένειά νιν ἀσπασίως
θυγάτηρ, ὡς χρή, πατέρ' ἀντιάσα-
σα πρὸς ὠκύπορον πόρθμευμ' ἀχέων
περὶ χεῖρε βαλοῦσα φιλήσει.

1560 ΧΟ. ὄνειδος ἥκει τόδ' ἀντ' ὀνείδους, ant. 4
δύσμαχα δ' ἐστι κρῖναι.
φέρει φέροντ', ἐκτίνει δ' ὁ καίνων·
μίμνει δὲ μίμνοντος ἐν θρόνωι Διός
παθεῖν τὸν ἔρξαντα· θέσμιον γάρ.
1565 τίς ἂν γονὰν ⟨ἀ⟩ραῖον ἐκβάλοι δόμων;
κεκόλληται γένος πρὸς ἄται.

ΚΛ. εἰς τόνδ' ἐνέβη⟨ς⟩ ξὺν ἀληθείαι χρησμόν· ἐγὼ δ' οὖν
1570 ἐθέλω δαίμονι τῶι Πλεισθενιδᾶν ὅρκους θεμένη
τάδε μὲν στέργειν, δύστλητά περ ὄνθ',
ὃ δὲ λοιπόν, ἰόντ' ἐκ τῶνδε δόμων
ἄλλην γενεὰν τρίβειν θανάτοις αὐθέντησιν.
1575 κτεάνων δὲ μέρος βαιὸν ἐχούσηι πᾶν ἀποχρῆι μοι,
μανίας μελάθρων ἀλληλοφόνους ἀφελούσηι.

ΑΙΓΙΣΘΟΣ
ὦ φέγγος εὖφρον ἡμέρας δικηφόρου.
φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους

1555 ἰφιγένειαν· ἵν' *τ*: corr. Jacob 1559 χεῖρε Porson[1]: χεῖρα *τ*. cf. Eur. Andr. 115 cum v.l. φιλήση *τ*: corr. Jacob(?) 1563 χρόνω *τ*: corr. Schütz[2] 1565 ῥᾶον *τ* (ῥᾷον T): corr. Hermann[17] 1566 προσάψαι *τ*: corr. Blomf.[10] 1567 ἐνέβη *τ*: corr. Canter σὺν G 1569 -ιδᾶν *τ*: ων ss. T (interpretamentum): -ιδῶν Dind.[4] 1570 θεμένα$^{\eta}$ T 1571 δύσπλητά F 1572 ὅ Bourdelot: ὁ *τ* 1573 τρίβειν θ. αὐ. om. T αὐθένταισιν GF 1574 δὲ anon.[1]: τε *τ* 1575 sq. ἀπόχρη *τ*: corr. Elmsley[8] 285 n.2, cf. praef. μοι μαν. μελ. ἀλλ. Erfurdt[1] ad Phil. 475: μοι δ'ἀλλ. μαν. μελ. *τ*: τάσδ' ἀλλ. μαν. μελ. Hermann[32] 1577 ἥμερας *τ*

θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη,
1580 ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐρινύων
τὸν ἄνδρα τόνδε κείμενον, φίλως ἐμοί,
χειρὸς πατρώιας ἐκτίνοντα μηχανάς.
Ἀτρεὺς γὰρ ἄρχων τῆσδε γῆς, τούτου πατήρ,
πατέρα Θυέστην τὸν ἐμόν, ὡς τορῶς φράσαι,
1585 αὑτοῦ δ' ἀδελφόν, ἀμφίλεκτος ὢν κράτει,
ἠνδρηλάτησεν ἐκ πόλεως τε καὶ δόμων·
καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν
τλήμων Θυέστης μοῖραν ηὕρετ' ἀσφαλῆ,
τὸ μὴ θανὼν πατρῷιον αἱμάξαι πέδον
1590 αὐτός· ξένια δὲ τοῦδε δύσθεος πατὴρ
Ἀτρεὺς προθύμως μᾶλλον ἢ φίλως πατρὶ
τὠμῶι, κρεουργὸν ἦμαρ εὐθύμως ἄγειν
δοκῶν, παρέσχε δαῖτα παιδείων κρεῶν.
τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρους κτένας
1595 ἔθρυπτ' †ἄνωθεν ἀνδρακὰς καθήμενος
ἄσημα† δ' αὐτῶν αὐτίκ' ἀγνοίαι λαβὼν
ἔσθει, βορὰν ἄσωτον, ὡς ὁρᾶις, γένει.
κἄπειτ' ἐπιγνοὺς ἔργον οὐ καταίσιον
ὤιμωξεν, ἀμπίπτει δ' ἀπὸ σφαγὰς ἐρῶν,
1600 μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται,

1594 cf. Hsch. κ 4295

1580 ἐν πάγαις Nauck[7] 707 **1582** χερὸς GF **1585** αὑτοῦ δ' Elmsley[5] ad Med. 940: αὐτοῦ τ' *τ* **1588** εὕρετ' *τ*: corr. Dind.[4] **1590** αὐτός Blomf.[10]: αὐτοῦ (1585) *τ*: Ἄργους Martin[1] 10 ξενίᾳ T **1594** χρεῶν F **1595** sq. ἔκρυπτ' Casaub.[1] ἄνωθεν ex 1579 irrepere potuit; possis ἄπωθεν (Fuhr 198) ἀνδρακὰς καθημένοις (Casaub.[1]) ἄσημ'· ὃ δ' (Dind.[4]) καθημένων Ludwig[0] **1597** ἀσατόν Heyse, debuit ἀσητόν **1599** ὤμωζεν F[a] ἂν· πίπτει *τ*: corr. Portus[1], Canter ἄπο *τ* σφαγὰς Voss: -ῆς *τ*: -ὴν Bourdelot **1600** del. J.C. Schmitt

λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾶι,
οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος.
ἐκ τῶνδέ τοι πεσόντα τόνδ' ἰδεῖν πάρα·
κἀγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεύς.
1605 τρίτον γάρ ὄντά μ' ἐπὶ δέκ' ἀθλίωι πατρί
ξυνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις·
τραφέντα δ' αὖθις ἡ Δίκη κατήγαγεν,
καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν,
πᾶσαν ξυνάψας μηχανὴν δυσβουλίας.
1610 οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοί,
ἰδόντα τοῦτον τῆς Δίκης ἐν ἕρκεσιν.
ΧΟ. Αἴγισθ', ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.
σὺ δ' ἄνδρα τόνδε φὴις ἑκὼν κατακτανεῖν,
μόνος δ' ἔποικτον τόνδε βουλεῦσαι φόνον;
1615 οὔ φημ' ἀλύξειν ἐν δίκηι τὸ σὸν κάρα
δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀράς.
ΑΙ. σὺ ταῦτα φωνεῖς νερτέραι προσήμενος
κώπηι, κρατούντων τῶν ἐπὶ ζυγῶι δορός;
γνώσηι γέρων ὢν ὡς διδάσκεσθαι βαρὺ
1620 τῶι τηλικούτωι, σωφρονεῖν εἰρημένον.
δεσμοὶ δὲ καὶ τὸ γῆρας αἵ τε νήστιδες
δύαι διδάσκειν ἐξοχώταται φρενῶν
ἰατρομάντεις. οὐχ ὁρᾶις ὁρῶν τάδε;

1602 Tz. Exeg. Il. 23.26 L. et sch. Alleg. Il. proleg. 511 1623 cf. ad Supp. 263

1602 del. Schütz[2] ὀλέσθαι Tz.: ὀλέσθη τ 1603 τοι (cf. 877) Hermann[32]: σοι τ 1606 ξυν- Schütz[2]: συν- τ 1609 ξυν- T: συν- GF 1611 ἰδόντι T 1612 ὑβρίζοντ' Heyse 1613 τόνδ' ἔφης τ: recte divisit Pauw 1614 τ' Wil.[5] 1621 δεσμοὶ Karsten: δεσμὸν GF: δεσμὸς T καὶ ῥυτῆρες Maas[6]

πρὸς κέντρα μὴ λάκτιζε, μὴ παίσας μογῇς.
1625 ΧΟ. γύναι, σὺ τοὺς ἥκοντας ἐκ μάχης νέον
οἰκουρός, εὐνὴν ἀνδρὸς αἰσχύνων ἅμα,
ἀνδρὶ στρατηγῶι τόνδ' ἐβούλευσας μόρον;
ΑΙ. καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ.
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις·
1630 ὃ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾶι,
σὺ δ' ἐξορίνας ⟨ν⟩ηπίοις ὑλάγμασιν
ἄξηι· κρατηθεὶς δ' ἡμερώτερος φανῆι.
ΧΟ. ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσηι,
ὃς οὐκ, ἐπειδὴ τῶιδ' ἐβούλευσας μόρον,
1635 δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως.
ΑΙ. τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς,
ἐγὼ δ' ὕποπτος ἐχθρὸς ἦ παλαιγενής.
ἐκ τῶν δὲ τοῦδε χρημάτων πειράσομαι
ἄρχειν πολιτῶν· τὸν δὲ μὴ πειθάνορα
1640 ζεύξω βαρείαις, οὔ τι δὴ σειραφόρον
κριθῶντα πῶλον, ἀλλ' ὁ δυσφιλὴς ⟨σ⟩κότωι
λιμὸς ξύνοικος μαλθακόν σφ' ἐπόψεται.
ΧΟ. τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς
οὐκ αὐτὸς ἠνάριζες, ἀλλὰ σὺν γυνή,

1624 sch. Pind. P. 2.173c, cf. Zenob. vulg. 5.70 1637 (ὕποπτος ἐχθρός) Hsch. (Cyr.) υ 727 1640–1 (σειρ. – πῶλον) Poll. 7.24; cf. Hsch. σ 339

1624 παίσας sch. Pind.: πήσας *τ* 1626 αἰσχύνουσ' *τ*: corr. Keck[2] (Aegisthum compellari viderat Butler) 1627 φωτὶ Karsten 1630 ὑπὸ Margoliouth[2] χαρᾶς Broadhead[2] 315 1631 ἠπίοισ *τ*: corr. Aur.[3] 1634 τῷδ' ἐβουλεύσας (sic) T: τῶδε βουλεύσας GF 1637 ἢ *τ*: corr. Porson[1] (ἦν Aur.[3]) 1638 τῶνδε, *τ*: dist. Casaub.[1] 1639 πειθήνιον Schneidewin[5] 1640 δὴ Blaydes[2]: μὴ (1639) *τ*: μὴν Wieseler[0] 1641 κότω *τ*: corr. Scal.[1] 267 fort. mavis Σκότωι Λιμὸς 1642 σύνοικος G

1645 χώρας μίασμα καὶ θεῶν ἐγχωρίων,
ἔκτειν'; Ὀρέστης ἆρά που βλέπει φάος,
ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχηι
ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς;

ΑΙ. ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσηι τάχα.
1650 ΧΟ. εἶα δὴ φίλοι λοχῖται, τοὔργον οὐχ ἑκὰς τόδε.
ΑΙ. εἶα δή, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.
ΧΟ. ἀλλὰ κἀγὼ μὴν πρόκωπος, ⟨κ⟩οὐκ ἀναίνομαι θανεῖν.
ΑΙ. δεχομένοις λέγεις θανεῖν σέ· τὴν τύχην δ' αἱρούμεθα.
ΚΛ. μηδαμῶς ὦ φίλτατ' ἀνδρῶν ἄλλα δράσωμεν κακά·
1655 ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλά, δύστηνον θέρος.
πημονῆς δ' ἅλις γ' ὑπάρχε⟨ι⟩· μηδὲν ἄλλ' ἀτώμεθα.
στείχετ' αἰδοῖ⟨οι⟩ γέροντες πρὸς δόμους, πεπρωμένοις
πρὶν παθεῖν εἴξαντες ⟨. . . . .
. . . . .⟩ καιρόν· χρῆν τάδ' ὡς ἐπράξαμεν.

1650 choro trib. *τ*: Aegistho continuavit Stanley[1] (et 1651) **1651** Aegistho trib. F[a]: choro G F[c]: nulla nota in T **1652** Aegistho, 1653 choro trib. *τ*: contrarium Stanley[1] πρόκωπος G[c]: πρόκοπος G[a] F: πρόκοπτος T. 'et ego intentus' κοὐκ Fraenkel[1] (duce Lobel[2] qui οὐδ'): οὐκ *τ*: asyndeton defendit Lloyd-Jones[3] 80 **1653** ἐρούμεθα *τ*: corr. Aur.[3] **1654** δράσομεν *τ*: corr. Vict. **1655** θέρος Schütz[2]: ὁ ἔρως *τ* **1656** πημονῆς ἅλις δ' Hermann[32] ὕπαρχε *τ*: corr. Scal.[2] ἄλλ' ἀτώμεθα West[7]: ἡματώμεθα *τ*: (μηκέθ') αἱματώμεθα anon.[1] **1657** sq. στείχετ' αἰδοῖοι Ahrens[7]: στείχετε δ'οἱ *τ*: στεῖχε καὶ σὺ χοἰ Franz (cf. Soph. O.R. 637) πεπρωμένοις ... εἴξαντες Madvig 203: πεπρωμένους τούσδε | πρὶν παθεῖν· ἔρξαντα (GT) vel -αντες (F) *τ* (τούσδε del. Scal.[2]) lac. stat. West[7] (frustra ἔρξαντ' ἄκαιρα Hermann[17] praeeunte Musgrave, στέρξαντας αἰνεῖν Heath, ἔρξαντες· αἰνεῖν Lobeck[4] 248, alii alia): potuit Aeschylus e.g. ⟨αἴσης δ' οὔτίς ἐστ' ἀποστροφή·|ἔστι γάρ, μένει τε⟩ καιρόν· χρῆν T, χρὴν GF: χρὴ Hartung ἐπράξαμεν Vict.: -άμην *τ*

εἰ δέ τοι μόχθων γένοιτο τῶνδ' ἄκος, δεχοίμεθ' ἄν,
1660 δαίμονος χηλῆι βαρείαι δυστυχῶς πεπληγμένοι.
ὧδ' ἔχει λόγος γυναικός, εἴ τις ἀξιοῖ μαθεῖν.
ΑΙ. ἀλλὰ τούσδ' ἐμοὶ ματαίαν γλῶσσαν ὧδ' ἀπανθίσαι
κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονος πειρωμένους,
σώφρονος γνώμης δ' ἁμαρτῆι τὸν κρατοῦντ' ⟨ὀνειδίσαι⟩.
1665 ΧΟ. οὐκ ἂν Ἀργείων τόδ' εἴη, φῶτα προσσαίνειν κακόν.
ΑΙ. ἀλλ' ἐγώ σ' ἐν ὑστέρασιν ἡμέραις μέτειμ' ἔτι.
ΧΟ. οὔκ, ἐὰν δαίμων Ὀρέστην δεῦρ' ἀπευθύνηι μολεῖν.
ΑΙ. οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους.
ΧΟ. πρᾶσσε, πιαίνου, μιαίνων τὴν δίκην, ἐπεὶ πάρα.
1670 ΑΙ. ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν.
ΧΟ. κόμπασον θαρσῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας.
ΚΛ. μὴ προτιμήσηις ματαίων τῶνδ' ὑλαγμάτων· ⟨ἐγὼ⟩
καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων ⟨καλῶς⟩.

1662 (ἀπανθ.) cf. Phryn. PS 9.5 B.

1659 ἄκος Donaldson ad Ant. 1241, δεχοίμεθ' ἄν Martin[1] 11: ἅλις γ' (1656) ἐχοίμεθ' ἄν *τ*: λύσις, ἑλοίμεθ' ἄν Blaydes[2] (ἑλ. Zakas) 1660 πεπληγμένοισ G 1662 τούσδε μοι *τ*: corr. Portus[2] ἀκοντίσαι Wakefield[0]: possis ἀπαρθρίσαι 1663 δαίμονας *τ*: corr. Portus[1] πειρωμένη G 1664 θ' Stanley[1] ἁμαρτῆτον *τ* (spat. vac. G, qui etiam δ' om.): ἁμαρτεῖν τὸν Casaub.[3], verum puto Aeschylum Solonis versum 33,4 θυμοῦ θ' ἁμαρτῆι καὶ φρενῶν ἀποσφαλείς ita accepisse quasi ἁμαρτῆι = ἁμαρτίαι esset κρατοῦντα *τ*: ⟨ὀνειδίσαι⟩ Lindau 1202: ⟨δ' ὑβρίσαι⟩ Blomf.[10] 1666 Clyt. trib. F ὑστέραισιν ἡμέραις *τ* 1667 δαίμων ⟨γ'⟩ Headlam[6] 248 1670 χάριν] χρόνωι Wecklein[3] 148 1671 θαρρῶν *τ*: corr. Porson[1] ὥσπερ *τ*: corr. Canter 1672 ἐγὼ ex Σ suppl. Canter 1673 καὶ σὺ δωμάτων κρ. πάντα (vel ταῦτα, τἄλλα) θ. κ. Fraenkel[1] καλῶς ex Σ suppl. Aur.[3]

CANTICORVM METRA

Siglis utor his:

$\bar{\times}$	syllaba longa in loco ancipiti
⏑⏑	duae breves ex resolutione in loco principi
$\ddot{-}$	longa in loco bicipiti
|	finis vocabuli
||	finis periodi
|||	finis strophae
:| :||	accedit pausa syntactica
⁀	zeugma, i.e. vitatur finis vocabuli
∫	vocabulum una syllaba transgreditur colorum iuncturam
: :	mutatio personae
~	respondet stropha antistropho
!	exclamatio (extra metrum)
$\wedge$	($ia_{\wedge}$, $da_{\wedge}$, etc.) metrum seu versus catalecticus
+	(δ^{+}, io^{+}) metrum seu versus hypercatalectus
an	metrum anapaesticum
ar	versus aristophaneus
ar^{d}	versus aristophaneus dactylo auctus (ar^{2d} = duobus dactylis auctus)
ch	choriambus
cr	creticus
δ	dochmius
d/D	– ⏑ ⏑ – / – ⏑ ⏑ – ⏑ ⏑ –
D^{2}/D^{3}	– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – / – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
${}_{\wedge}D$	⏑ ⏑ – ⏑ ⏑ –
da	dactyli
$da_{\wedge\wedge}$	dactyli cum brachycatalexi (...– ⏑ ⏑ –)
dod	dodrans
$dod^{..}$	dodrans inversus (– × – ⏑ ⏑ –)
e/E	in dactylo-epitritis cola – ⏑ – / – ⏑ – × – ⏑ –
E^{2}	– ⏑ – × – ⏑ – × – ⏑ –

gl versus glyconeus
¨gl versus glyconeus cum anaclasi (= ch ia)
hag versus hagesichoreus
hag^c versus hagesichoreus choriambo auctus
hδ hypodochmius
hex hexameter dactylicus
hi versus hipponacteus
ia metrum iambicum ($_\wedge$ia / ia$_\wedge$ / $_\wedge$ia$_\wedge$ = – ∪ – / ∪ – – / – – pro metro iambico)
io metrum ionicum
2io÷ dimeter ionicus anaclasticus (= versus anacreonteus)
ith versus ithyphallicus
kδ dochmius kaibelianus
lec lecythium
mol molossus
pe penthemimeres
ph versus pherecrateus
tl versus telesilleus
tl¨ versus telesilleus cum anaclasi (× – × – ∪ ∪ –)
tr metrum trochaicum

Praeter opera in indice criticorum memorata citantur etiam:

Dale A.M. Dale, Metrical Analyses of Tragic Choruses, BICS Suppl. 21.1–3, 1971–83
Dale CP eadem, Collected Papers, Cambr. 1969
Dale LM[2] eadem, The Lyric Metres of Greek Drama, ed. alt., Cambr. 1968
West GM M.L. West, Greek Metre, Oxford 1982

ΑΓΑΜΕΜΝΩΝ

104	122	– ⏔ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ | – ∪ ∪ – – |	6da$_{\wedge}$ |
105	123	– ∪ ∪ – | ∪ ∪ – | ∪ ∪ – | ∪ ∪ – – |	5da$_{\wedge}$ |
106/7	124/5	– –̈ | – –̈ | – –̈ | – ∪ ∪ – – ‖	5da$_{\wedge}$ ‖
108/9	126/7	∪ – ∪ –͡– | ∪ ∪ – ∪ ∪ | – ∪ ∪ – – |	ia ∫ 4da$_{\wedge}$ |
110	128	– ∪ ∪ – – |	2da$_{\wedge}$ |
111	129	– –̈ | – ∪ ∪ – ∪ ∪ – ∪ ∪ | – ∪ ∪ – – |	6da$_{\wedge}$ |
112	130	– ∪ ∪ – – |	2da$_{\wedge}$ |
113/5	131/3	– –̈ – ∪ ∪ – | ∪ ∪ – ∪ ∪ – | ∪ ∪ – ∪ ∪ – ∪ ∪ – – ‖	8da$_{\wedge}$ ‖
116	134	∪ – ∪ –͡– ∪ ∪ – ∪ ∪ | – ∪ ∪ – – |	ia ∫ 4da$_{\wedge}$ |
117	135	– –̈ – | ∪ ∪ – – ‖	3da$_{\wedge}$ ‖
118/9	136/7	– ∪ ∪ – | ∪ ∪ – | ∪ ∪ – ∪ ∪ | – ∪ ∪ – – ‖	6da$_{\wedge}$ ‖
120	138	∪ – ∪ – ∪ – ∪ – :‖	2ia$_{\wedge}$ ‖
121 =	139	– ∪ ∪ – ∪ ∪ – ∪ | ∪ – –̈ – – ‖‖	5da$_{\wedge}$ ‖‖
	140	∪ – ∪ – – | ⟨∪⟩ ∪ – |	ia ∫ ch |
	141	∪ – ∪ – – | ∪ ∪ – | ∪ – – |	ia ∫ ch | ia$_{\wedge}$ |
	142	– –̈ | – ∪ ∪ – ∪ ∪ – – |	4da$_{\wedge}$ |
	143	– –̈ | – ∪ ∪ – ∪ – – :|	D ia$_{\wedge}$ |
	144	– –̈ | – –̈ | – ∪ ∪ – – :‖	4da$_{\wedge}$ ‖
	145/6	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ [–?–] ‖	5da$_{\wedge}$ ‖
	147	∪ – ∪ – – | ∪ ∪ – | ∪ – ⏑̄ ‖	ia ∫ ch | ia$_{\wedge}$ ‖
	148/9	– ∪ ∪ – ∪ ∪ – | ∪ ∪ – | ∪ ∪ – | ∪ ∪ – ∪ | ∪ – – |	7da$_{\wedge}$ |
	150/1	– –̈ | – ∪ ∪ – | ∪ ∪ – | ∪ ∪ – | ∪ ∪ – ∪ | ∪ – – |	7da$_{\wedge}$ |
	152/4	– –̈ | – ∪ ∪ – ∪ ∪ – –̈ – ∪ ∪ – –̈ – ∪ ∪ – ∪ ∪ – – ‖	9da$_{\wedge}$ ‖
	155	– ∪ ∪ – | ∪ ∪ – | –̈ – | –̈ – | ∪ ∪ – – |	6da$_{\wedge}$ |
	156	{ – ∪ ∪ – – |	2da$_{\wedge}$ |
		– ∪ ∪ – ∪ ∪ – | ∪ ∪ – – | }	4da$_{\wedge}$ |
	157	– ∪ ∪ – –̈ – | ∪ ∪ – | –̈ – | ∪ ∪ – – |	6da$_{\wedge}$ |
	158	– ∪ ∪ – – ‖	2da$_{\wedge}$ ‖
	159	– ∪ ∪ – ∪ ∪ – ∪ | ∪ – –̈ – – ‖‖	5da$_{\wedge}$ ‖‖

<table>
<tr><td>160</td><td>168</td><td>– – – ∪ – ∪ – ∪ –</td><td>$_\wedge$ia$_\wedge$ lec</td></tr>
<tr><td>161</td><td>169</td><td>– ∪ – ∪ – ∪ –|</td><td>lec|</td></tr>
<tr><td>162</td><td>170</td><td>– ∪ – ∪ – ∪ – :||</td><td>lec ||</td></tr>
<tr><td>163</td><td>171</td><td>– ∪ – ∪ – ∪ –</td><td>lec</td></tr>
<tr><td>164</td><td>172</td><td>– ∪ – ∪ – ∪ –|</td><td>lec|</td></tr>
<tr><td>165/6</td><td>173/4</td><td>– ∪ ∪ – ∪ ∪ –|∪ ∪ – ∪ ∪ – –|</td><td>5da$_\wedge$ |</td></tr>
<tr><td>167</td><td>175</td><td>– ∪ – ∪ – ∪ –|||</td><td>lec |||</td></tr>
<tr><td></td><td></td><td></td><td></td></tr>
<tr><td>176</td><td>184</td><td>– ∪ – ∪ – ∪ –</td><td>lec</td></tr>
<tr><td>177</td><td>185</td><td>– ∪ – ∪ – ∪ –|</td><td>lec|</td></tr>
<tr><td>178</td><td>186</td><td>– ∪ – ∪ – ∪ –|</td><td>lec|</td></tr>
<tr><td>179</td><td>187</td><td>– – – ∪ – ∪ – ∪ –|</td><td>$_\wedge$ia$_\wedge$ lec|</td></tr>
<tr><td>180</td><td>188</td><td>– ∪ – – ∪ – – ∪ –</td><td>$_\wedge$ia $_\wedge$ia $_\wedge$ia</td></tr>
<tr><td>181</td><td>189</td><td>– ∪ – ∪ – ∪ –|</td><td>lec|</td></tr>
<tr><td>182</td><td>190</td><td>– ∪ – ∪ – ∪ –|</td><td>lec|</td></tr>
<tr><td>183</td><td>191</td><td>∪ – – – ∪ – ∪ – ∪ –|||</td><td>ia$_\wedge$ lec |||</td></tr>
<tr><td></td><td></td><td></td><td></td></tr>
<tr><td>192</td><td>205</td><td>∪ – ∪ – – ∪ – ∪ – –|</td><td>ia ith|</td></tr>
<tr><td>193</td><td>206</td><td>∪ – ∪ –|– ∪ –|∪ – –|</td><td>ia|ith|</td></tr>
<tr><td>194/5</td><td>207/8</td><td>∪ – ∪ –|∪̄ – ∪ – – ∪ –|∪ – – ||</td><td>ia|ia ith ||</td></tr>
<tr><td>196</td><td>209</td><td>∪ – – – ∪ – ∪ – –|</td><td>ia$_\wedge$ ith|</td></tr>
<tr><td>197</td><td>210</td><td>∪̄ – ∪ – – ∪ –</td><td>ia $_\wedge$ia</td></tr>
<tr><td>198</td><td>211</td><td>∪ – – – :| ∪ – ∪ – ∪ –|</td><td>ia$_\wedge$ ∫ lec|</td></tr>
<tr><td>199</td><td>212</td><td>– ∪ ∪ – ∪ – –|</td><td>ar|</td></tr>
<tr><td>200</td><td>213</td><td>– ∪ ∪ – ∪ – –|</td><td>ar|</td></tr>
<tr><td>201</td><td>214</td><td>– ∪ ∪ – –|</td><td>– io|</td></tr>
<tr><td>202</td><td>215</td><td>∪ ∪ – – ∪ ∪ – – ∪ ∪ – –|</td><td>3io|</td></tr>
<tr><td>203</td><td>216</td><td>∪ ∪ – – ∪ ∪ – –|</td><td>2io|</td></tr>
<tr><td>204</td><td>217</td><td>∪ ∪ – ∪ – –|||</td><td>io$^+$ |||</td></tr>
<tr><td></td><td></td><td></td><td></td></tr>
<tr><td>218</td><td>228</td><td>∪ – ∪ – – ∪ –|∪ – –|</td><td>ia ith|</td></tr>
<tr><td>219</td><td>229</td><td>∪ – ∪ – – ∪ – ∪ – – ||</td><td>ia ith ||</td></tr>
<tr><td>220</td><td>230</td><td>∪ – ∪ ∪∪ ∪ – ∪ –|</td><td>2ia|</td></tr>
<tr><td>221</td><td>231</td><td>∪ – ∪ – –|∪ – ∪ – –|</td><td>ia ∫ ith|</td></tr>
<tr><td>222</td><td>232</td><td>∪ – ∪ – –|∪ – ∪ – –|</td><td>ia ∫ ith|</td></tr>
<tr><td>223</td><td>233</td><td>∪ – ∪ ∪∪ ∪ – – ∪ – –|∪ – –|</td><td>ia ia$_\wedge$ ia$_\wedge$ | ia$_\wedge$ |</td></tr>
<tr><td>224</td><td>234</td><td>∪ – ∪ – –|</td><td>pe|</td></tr>
<tr><td>225</td><td>235</td><td>∪ ∪ – ∪ – ∪ – –|</td><td>2io$^\div$ |</td></tr>
<tr><td>226</td><td>236</td><td>∪ ∪ – ∪ – –|</td><td>io$^+$|</td></tr>
<tr><td>227</td><td>237</td><td>– ∪ ∪ – ∪ – –|||</td><td>ar |||</td></tr>
</table>

238 248 ⏑–⏑– –⏑– –⏑–:| ia ∧ia ∧ia|
239 249 ⏑–⏑– –⏑–⏑–⏓ || ia ith||
240/1 250/1 ⏑–⏑– –⏑– –|⏑–⏑–⏑–| ia ∧ia∫lec|
242 252 ⏑––|⏑–⏑–|–⏑–|⏑–⏑– || ia∧ | ia|lec||
243 253 ⏑–⏑–|–⏑–| ia| ∧ia|
244 254 ⏑–⏑– –⏑–⏑––| ia ith|
245 255 ⏑–⏑– –⏑– –⏑– –⏑–| ia ∧ia ∧ia ∧ia|
246 256 ⏑–⏑– –⏑– ia ∧ia
247 257 ⏑–– –⏑⏑–⏑––||| ia∧ ar|||

367 385 ⏑–– –⏑–⏑––| ia∧ ith|
368 386 ⏑––|–⏑–⏑–– || ia∧ | ith||
369 387 ⏑–⏑–⏑–⏑:|–⏑––| 3ia∧ |
370/1 388/9 ⏑–⏑–|–⏑– –⏑–| ia| ∧ia ∧ia|
372 390 ⏑–⏑– –⏑–| ia ∧ia|
373 391 ⏑–⏑– –⏑–| ia ∧ia|
374 392 ⏑–– –⏑–| ia∧ ∧ia|
375 393 ⏑–– –⏑–| ia∧ ∧ia|
376 394 ⏑––|–⏑–⏑––| ia∧ | ith|
377 395 ⏑–– –⏑–⏑–– || ia∧ ith||
378 396 ⏑–⏑– –⏑– –⏑– ia ∧ia ∧ia
379 397 –⏑–⏑––| ith|
380 398 –⏑⏑–⏑–⏓:|| ar||
381 399 –⏒–⏑⏑–– || ph||
382 400 –⏒–⏑⏑–– || ph||
383/4 401/2 –⏒–⏑⏑–⏑– –⏒–⏑⏑––||| gl ph|||

403 420 ⏑–⏑– –⏑– –⏑–| ia ∧ia ∧ia|
404/5 421 ⏑–⏑– –⏑– –⏑–|⏑––| ia ∧ia ith|
406 423 ⏑–⏑–⏑–⏑–⏑–⏑– || 3ia||
407 424 ⏑–– –⏑⏑⏑ ia∧ ∧ia
408 425 ⏑–⏑–⏑–⏑|–⏑–⏑– || 3ia||
409 426 ⏑–⏑– –|⏑–⏑–– || ia∫ith||
410 427 ⏑–⏑– –⏑–⏑–⏑– || ia lec||
411 428 ⏑–⏑– –⏑–⏑–⏑⏓ || ia lec||
412 429 ⏑–⏑– –⏑––|⏑–⏑–⏑–⁀ ia ∧ia∫lec
413 430 –⏑–⏑–⏑–| lec|
414 431 ⏑–⏑– –⏑–| ia ∧ia|
415 432 –⏑– –⏑–⏑––: || ∧ia ith||

Ephymnium 416–9 ∼ 433–6 sicut 381–4

437/8	456/7	∪ – ∪ – – ∪ –|– ∪ –|	ia ‸ia| ‸ia|
439	458	– ∪ – – ∪ – ∪ – ∪ –|	‸ia lec|
440	459	∪ – ∪ – – ∪ –|	ia ‸ia|
441	460	∪ – ∪ – – ∪ –|	ia ‸ia|
442	461	– ∪ – ∪ – ∪ –⌒	} 3lec|
443	462	– ∪ – ∪ – ∪ –⌒	
444	463	– ∪ – ∪ – ∪ –|	
445	464	∪ – ∪ – ∪ – ∪ –	} 4ia|
446	465	∪ – ∪ – ∪ – ∪ –|	
447	466	∪̄ – ∪ – ∪ – ∪ –	2ia
448	467	– ∪ ∪ – ∪ – ∪ – – :|	– 2io÷ |
449	468	∪ ∪ – ∪ – ∪ – –|	2io÷ |
450	469	∪ ∪ – ∪ – ∪ – –|	2io÷ |
451	470	∪ ∪ – ∪ – – :||	io+ ||

Ephymnium 452–5 ∼ 471–4 sicut 381–4

	475	∪ – ∪ – – ∪ –|	ia ‸ia|
	476	∪ – ∪ – – ∪ –|	ia ‸ia|
	477	– ∪ – ∪ – ∪ –|	lec|
	478	∪ – ∪ – ∪|– ∪ – ∪ – ∪ – ||	3ia ||
	479	∪ – ∪ – ∪|– ∪ – ∪ – ∪ – ||	3ia ||
	480	∪ – ∪ – – ∪ –|	ia ‸ia|
	481	∪ – ∪ – – ∪ – ∪ – ∪ –|	ia lec|
	482	– ∪ – ∪ – ∪ – :|	lec|
	483	∪ – ∪ – – ∪ –|	ia ‸ia|
	484	∪ – ∪ – –|∪ – ∪ – ∪ – :|	ia ∫ lec|
	485	∪ ∪∪ ∪ – ∪ – ∪|∪∪ ∪ ∪∪ ∪ –|	3ia|
	486	∪ ∪∪ ∪ – ∪ ∪∪ ∪ –|	2ia|
	487	∪ – ∪ – – ∪ – ∪ – ∪ –|||	ia lec|||

681/2	699/700	– ∪ – ∪ – ∪ – – ∪ – ∪ – ∪ –|	2lec|
683	701	– ∪ – ∪ – ∪ –	lec ∫
684/5	702/3	–|∪ – – ∪ – ∪ – ∪ –|	‸ia lec|
686	704	– ∪ – ∪ – ∪ – ||	lec ||
687	705	– ∪ ∪ – ∪ – ∪ – –|	– 2io÷ |
688	706	∪ ∪ – ∪ – ∪ – – ||	2io÷ ||

689/90	707/8	∪ ∪ – ∪ – ∪ ∪ – ∪ ∪ – – ∪ ∪ – – |	(2io÷) 2io |
691	709	∪ ∪ – ∪ – ∪ – – |	2io÷ |
692	710	∪ ∪ – ∪ – ∪ – – |	2io÷ |
693/4	711/2	∪ ∪ – – | ∪ ∪ – ∪ – ∪ – –	io | 2io÷
695	713	∪ ∪ – ∪ – ∪ – – ‖	2io÷ ‖
696/7	714/5	– – – ∪ ∪ – ∪ – – | ∪ ∪ – ∪ – – |	gl ∫ ar |
698	716	∪∪ ∪ – ∪ ∪ – ⏓ ‖|	ph ‖|
717	727	∪ – – ∪ ∪ – ∪ –	gl ∫
718/9	728/9	– | ∪ – ∪ ∪ – ∪ – – ∪ – ∪ ∪ – – ‖	gl ph ‖
720	730	– ∪ ∪ – ∪ ∪ – – ‖	D – ‖
721	731	– ∪ ∪ – ∪ ∪ – ⏓ ‖	D – ‖
722	732	– ∪ ∪ – ∪ ∪ – – ‖	D – ‖
723	733	∪∪ ∪ – ∪ – ∪ – |	lec |
724	734	∪∪ ∪ – | ∪ – ∪ – ‖	lec ‖
725/6	735/6	– ⏓ – ∪ ∪ – ∪ –͡– ∪ – ∪ ∪ – – ‖|	gl ph ‖|
737/8	750/1	∪ – ∪ – – ∪ – ∪ – ∪ – | ∪ – – |	ia lec | ia∧ |
739/40	752/3	∪ – ∪ – – ∪ – ∪ – – |	ia ith |
741	754	∪ – – – ∪ – ∪ – – ‖	ia∧ ith ‖
742	755	– ∪ ∪ – ∪ – ∪ – |	ch ia |
743	756	– ∪ – ∪ ∪ – ∪ – – : ‖	hi ‖
744/5	757/8	∪ ∪ – – ∪ ∪ – – ∪ | ∪ – ∪ – ∪ – – |	2io ∫ 2io÷ |
746/7	759/60	∪ ∪ – – ∪ ∪ – – | ∪ ∪ – – ∪ ∪ – – ‖	4io ‖
748	761	x̄ – ∪ – ∪ ∪ – |	tl¨ |
749	762	– ∪ – ∪ ∪ – – ‖|	ph ‖|
763/4	773/4	∪ – ∪ – – ∪ – – ∪ – – ∪ –	ia ∧ia ∧ia ∧ia
765	775	– ∪ – ∪ – ∪ – |	lec |
766	776	∪ – ∪ – ∪ ∪͞∪ ∪ ⏖ ∪ – ∪ – ‖	3ia ‖
767	777	∪ – ∪ – ∪ – – ‖	2ia∧ ‖
768/9	778/9	x̄ ∪∪ ∪ – ∪ ∪∪ ∪ ∪∪ ∪ |	} 4ia ∫
770	780	∪∪ ∪ – ∪ – ∪ –	
771	781	– | ∪ ∪ – ∪ – – |	ar |
772	782	– ∪ ∪ – ∪ – – ‖|	ar ‖|
975	988	– ∪ – ∪ – ∪ – |	lec |
976	989	– ∪ – ∪ – ∪ – |	lec |
977	990	– ∪ – ∪ – ∪ – | ∪ – – ‖	lec | ia∧ ‖

978/9	991/2		– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ‖	5da$_\wedge$ ‖
980	993		– ⏑ – ⏑ – ⏑ –|	lec|
981	994		– ⏑ – ⏑ – ⏑ –|	lec|
982	995		– ⏑ – – ⏑ –	$_\wedge$ia $_\wedge$ia ʃ
983	996		–|⏑ – ⏑ – ⏑ –|	lec|
984	997		⏑ – ⏑ –| x̄ – ⏑ – ⏑ – ⏑ – ‖	ia|2ia ‖
985	998		– ⏑ – – ⏑ –	$_\wedge$ia $_\wedge$ia
986	999		– ⏑ – ⏑ – ⏑ – ‖	lec ‖
987	1000		– ⏑ – ⏑ – ⏑ –‖|	lec ‖|
1001	18		⏑⏑ ⏑ –|⏑⏑ ⏑ –|	cr|cr|
1002	19		⏑⏑ ⏑ –|⏑ ⏑ – –|	cr|io|
1003	20		⏑ ⏑ – ⏑ ⏑ –|	an|
1004	21		⏖ – ⏑ ⏑ – ⏑ ⏑ – – : ‖	2an$_\wedge$ ‖
1005	22		– ⏑ ⏑ – ⏑ ⏑ –|	D|
1006	23		– ⏑ ⏑ – ⏑ ⏑ –|	D|
1007	24		– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏓ : ‖	D ia$_\wedge$ ‖
1008	25		– ⏑ – ⏑ – ⏑ –|	lec|
1009	26		– ⏑ – ⏑ – ⏑ –|	lec|
1010	27		– ⏑ – ⏑ – ⏑ –|	lec|
1011	28		– ⏑ – ⏑ – ⏑ –|	lec|
1012	29		– ⏑ – ⏑ – ⏑ –|	lec|
1013	30		– ⏑ – ⏑ – ⏑ – ‖	lec ‖
1014	31		– –̈ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑	} 8da$_\wedge$ ‖
1015/6	32/3		– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ‖	
1017	34		– ⏑ – ⏑ – ⏑ –‖|	lec ‖|
1072	76	KA.	⏑ ⏑⏑ ⏑ –|⏑ – – ‖	2ia$_\wedge$ ‖
1073	77		x̄ – ⏑ – – –‖|	ia $_\wedge$ia$_\wedge$ ‖|?
1074/5	78/9	XO.		::3ia ‖ × 2
1080	85	KA.	⏑ – –‖⏑ – – ‖	::ia$_\wedge$ ‖ ia$_\wedge$ ‖
1081	86		⏑ – –|⏑ – – ⏑ – ‖	ia$_\wedge$|δ ‖
1082	87		⏒ – ⏑ – ⏑ – ⏑ – ⏒ – ⏑ –‖|	3ia ‖|
1083/4	88/9	XO.		::3ia ‖ × 2
1090	95	KA.	– ⏑⏑ – ⏑ –|– ⏑⏑ – ⏑ ⏓ ‖	::δ|δ ‖
1091	96		– ⏑⏑ ⏑ ⏑⏑|⏑ – ⏑ – ‖	2ia ‖
1092	97		x̄ – ⏑ – x̄|– ⏑ – ⏒ – ⏑ –‖|	3ia ‖|

1093/4 98/9 ΧΟ. ::3ia ‖ × 2

1091 ~ 1096] vel cr | δ ‖

1100 07 ΚΑ. ⏑ – ⏑ – ⏑ ⏖ – ⏑ – :| ::ia δ |
1101 08 ⏖ ⏑ – ⏑ – ⏑ ⏓ ‖ lec ‖
1102 09 ⏒ – ⏑ – ⏒ – ⏑ – ⏑ – ⏑ – ‖ 3ia ‖
1103 10 ⏑ – – | ⏑ – – | ⏑ – – ⏑ – – $ia_{\wedge}$ | $ia_{\wedge}$ | $ia_{\wedge}$ $ia_{\wedge}$
1104 11 ⏑ ⏖ – ⏑ – ‖| δ ‖|
1105/6 12/3 ΧΟ. ::3ia ‖ × 2

1114 25 ΚΑ. ⏑ ⏖ – ⏑ – ‖ ⏑ ⏖ – ⏑ – ‖ ::δ ‖ δ ‖
1115 26 x̄ – ⏑ – ⏑ – – ‖ $2ia_{\wedge}$ ‖
1116 27 ⏒ – ⏑ – ⏑ – ⏑ | – ⏑ – ⏑ ⏓ ‖ 3ia ‖
1117 28 ⏒ – ⏑ – | ⏑ ⏖ – ⏒ – | ia | δ |
1118 29 ⏑ ⏖ – ⏑ – – ⏑ – – ⏑ – ‖ δ 2cr ‖
1119/20 30/1 ΧΟ. ::3ia ‖ × 2
1121 32 ⏑ ⏖ – ⏑ – | ⏑ ⏖ ⏕ ⏑ – | δ | δ |
1122 33 ⏑ – – ⏑ – | ⏑ – – ⏑ – | δ | δ |
1123 34 ⏑ ⏖ – ⏑ – | δ |
1124 35 – ⏑ – – ⏑ – ⏑ – – ⏑ – ‖| 2cr δ ‖|

1136 46 ΚΑ. ⏑ ⏖ – ⏑ – – | ⏑ ⏖ – ⏑ – :| ::δ ∫ 2cr |
1137 47 ⏑ ⏖ – ⏑ – | ⏑ ⏖ – ⏑ – ‖ δ | δ ‖
1138/9 48/9 3ia ‖ × 2
1140 50 ΧΟ. ⏑ ⏖ – ⏑ – | ⏑ ⏖ – ⏑ – ::δ | δ
1141 51 ⏑ – – ⏑ – | δ |
1142 52 ⏖ ⏑ ⏖ | – ⏑ – | – – ‖ cr | cr | $_{\wedge}ia_{\wedge}$ ‖
1143 53 ⏑ ⏖ – ⏑ – | – ⏑ – – ⏑ – ‖ δ | 2cr ‖
1144 54 ⏑ ⏖ – ⏑ – | – ⏖ – ⏑ – | δ | δ |
1145 55 ⏑ – – ⏑ – ‖| δ ‖|

1156 67 { ΚΑ. ⏑ – ⏑ – | ⏑ – ⏑ ⏖ | ::2ia |
⏑ ⏖ – ⏑ – :| δ |
1157 68 ⏑ – ⏑ – – | ⏖ – ⏑ – | ia ∫ δ |
1158 69 ⏑ ⏖ – ⏑ – | – ⏖ – ⏑ – | δ | δ |
1159 70 – ⏖ – ⏑ – ‖ δ ‖
1160/1 71/2 3ia ‖ × 2

1162	73	XO. ∪ ∪∪ ∪∪ ∪ – ∪ ∪∪ – ∪ –|	::2δ|
1163	74	⏒ – ∪ ∪∪ ∪ – ∪ –	2ia
1164	75	∪ – – ∪ – ⏒ ⏕ – ∪ –|	2δ|
1165	76	∪ – – ∪ –|∪ ∪∪ ∪∪ ∪ ⏕ |	δ|δ|
1166	77	– ∪∪ – ∪ –|||	δ |||
1407	26	{ ∪ ∪∪ – ∪ –|	δ|
		∪ ∪∪ ∪ ∪∪ ∪ – ∪ –|	2ia|
1408	27	∪ ∪∪ – ∪ –|– ∪∪ ⏔ ∪ –|	δ|δ|
1409	28	∪ ∪∪ – ∪ –|– ∪∪ – ∪ – ||	δ|δ ||
1410	29	⏒ ∪∪ ∪∪ ∪ ⏔|∪ ∪∪ – ∪ –|	δ|δ|
1411	30	– ∪ – ∪ ∪ – –|||	ph |||
1448	68	– ∪∪ – ∪ –|– ∪∪ – ∪ –	δ|δ
1449	69	– ∪ – ∪ ∪ – – ||	ph ||
1450	70	∪ – ∪ – – ∪ – ∪ – –|	ia ith|
1451	71	– ∪ ∪ – ∪ ∪ –|∪ – –|	D|ia$_\wedge$ |
1452	72	∪∪ ∪ – ∪ – ∪ –|	lec|
1453	73	∪∪ ∪ – –|∪ – – ∪ –|	$_\wedge$ia ∫ $_\wedge$ia $_\wedge$ia|
1454	74	– ∪ – –|∪ – ∪ – ∪ –|||	$_\wedge$ia ∫ lec |||
1455/7			6an$_\wedge$ ||
1458		– ∪∪ – ∪ – – ∪∪ – ∪ –|	2δ|
1459/60		∪ – ∪ – ∪|– ∪ – ∪ – ∪ –|	3ia|
1461		∪∪ ∪ – – ∪ – ∪ – –|||	$_\wedge$ia ith |||
1481	1505	– ∪ ∪ – ∪ ∪ –|	D|
1482	06	– ∪ ∪ – ∪ ∪ – ∪ – – ||	D ia$_\wedge$ ||
1483/4	07/8	x̄ – ∪ ∪ – ∪ – – –|∪ – ∪ ∪ – – ||	hag ∫ ph ||
1485	09	∪ – ∪ –|∪ – ∪ –|	ia|ia|
1486	10	∪ – ∪ – ∪ – ∪ –|	2ia|
1487	11	∪ – ∪ –|∪ – ∪ –|∪ – – ||	ia|ia|ia$_\wedge$ ||
1488	12	∪ – – ∪ ∪ – ∪ – –|||	hi |||
1489/93 = 1513/7			5an$_\wedge$ || 4an$_\wedge$ ||
1494	18	x̄ – – x̄ –|– ∪∪ – ∪ –|	δ|δ|
1495	19	∪ ∪ – ∪ – ∪ –|	kδ|
1496	20	– ∪ ∪ – ∪ ∪ –|∪ – –|||	D|ia$_\wedge$ = ar^d |||

1530	60	∪ – ∪ – – ∪ – ∪ – – |	ia ith |
1531	61	– ∪ ∪ – ∪ – – ‖	ar ‖
1532	62	∪ – ∪ – – ∪ – ∪ – – : ‖	ia ith ‖
1533	63	∪̄ – ∪ – – ∪ – ∪ – ∪ – |	ia lec |
1534	64	∪ – ∪ – – ∪ – ∪ – – : ‖	ia ith ‖
1535	65	∪ – ∪ – ∪ – ∪ | – ∪ – ∪ – ‖	3ia ‖
1536	66	∪ – – – ∪ – ∪ – ⏓ ‖|	$ia_{\wedge}$ ith ‖|
1537/46			$6an_{\wedge}$ ‖ $10an_{\wedge}$ ‖
1547/8		– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ – – |	D^2 $ia_{\wedge}$ = ar^{2d} |
1549		– ∪ ∪ – ∪ – – |	ar |
1550		∪ – – – ∪ – ∪ – – ‖|	$ia_{\wedge}$ ith ‖|